'Αγαθόν τι χρῆμα τὸν πόνον ἀποφήναντά τινα τῶν ἐπὶ φιλοσοφίᾳ βεβοημένων ἀνδρῶν κομιδῇ θαυμάσας, τὰ μέγιστα ἐπῃνεσάμην, ὡς κάλλιστά τε καὶ δοκιμώτατα φιλοσοφήσαντα· διὰ πόνου γὰρ τοῖς ἀνθρώποις ἐπεισρέει τὰ ἀγαθά, διὰ πόνου πάντες τιμῆς ἀξιοῦνται· διὰ τούτου πλουτοῦσι· διὰ τούτου Θεοῦ βασιλείαν κληρονομοῦσιν. 'Οντως ἀγαθὸν ὁ πόνος· τῷ γὰρ πονοῦντι καὶ θεὸς συλλαμβάνει, κατὰ τὴν παροιμίαν [2]). Τούτῳ δὴ καὐτὸς τῷ πόνῳ ὡς μέσῳ τινὶ χρησάμενος ἔρχομαι πρὸς τὴν ὑμετέραν ἀγάπην καὶ ἐν Χριστῷ ἡμῶν ἀδελφότητα ἀσπασάμενος ὑμᾶς τὸν ἐν Χριστῷ ἀσπασμόν· ἐπόνησα γὰρ οὐ μετρίως περὶ τὴν συλλογὴν τῶν παροιμιῶν· καὶ γάρ, ὡς δῆλον, διεσπαρμένων τυγχανουσῶν, καὶ μὴ ἐν ταὐτῷ, πόνον τε οὐκ ὀλίγον τοῖς θέλουσι χρῆσθαι ταύταις παρεχουσῶν, συνελεξάμην ἔγωγε ταύτας ἀπὸ βιβλίων διαφόρων, ἀπό τε Βαρίνου, καὶ Σουίδα, ἀπό τε Μιχαήλου 'Αποστολίου καὶ Ταρραίου, καὶ Διδύμου, ἀπό τινος Γραικολατίνου καὶ ἄλλων ἀνωνύμων, πολλάς τε ἀπὸ τῆς τῶν χυδαίων

[1]) Χ. ἄθροι
[2]) Ἐκ τοῦ 'Αποστολ. 1643 6.

НВ ОНУ імені І.І.Мечникова

γλώττης, ἃς καὶ μετήνεγκα εἰς τὸ ἀρχαῖον κάλλος τῆς ἑλληνίδος διαλέκτου, παρ᾽ ἧς καὶ ἐπέζευσαν· τῶν [1]) δὲ λαχουσῶν μοι οὐδεμίαν παρῆκα. Τούτων δὲ τὸ χρήσιμόν τε καὶ ὑπουργ[φ. 1 β]γὸν ἐγνωσμένον ὑμῖν· ἤθη γὰρ παραινοῦσι, καὶ πάθη ἐπανορθοῦσι· λόγος γὰρ βιωφελὴς ἡ παροιμία. Καί εἰσιν οἷον ὕλη ἀναγκαιοτάτη τοῖς λόγου καὶ ἐπιστήμης μετεσχηκόσιν· ὑπουργοῦσι γὰρ ὑμῖν πρὸς τὸ ὁμιλεῖν ἀστείως, καὶ συγγράφειν κοσμίως. Τοῦτο κἀγὼ προορῶν, ἐπόνησα περὶ τὴν συλλογὴν τῶν αὐτῶν· ἃς τάξεως ἀμοιρούσας εὑρών, ταύτην ἐχαρισάμην αὐταῖς· ἐξ ὧν τὰς μὲν εἰς τὴν αὐτὴν ἔννοιαν συντεινούσας, ἃς καὶ ταυτοσημάντους καλέσας, ἐν τῷ τέλει μετεθέμην τοῦ βιβλίου. Τοῦτο⟨ν⟩ οὖν τὸν πόνον προσανατίθει τῇ ὑμῶν λογιότητι· ὃν ὑπτίαις ὑποδέξασθε χερσὶν ἀξιῶ, οὐκ ἀφορῶντες εἰς τὸ τοῦ δώρου λιτόν, ἀλλὰ τὸ πρόθυμον τοῦ πονήσαντος μετὰ φιλοφροσύνης δεξιώσασθε· καὶ γὰρ καὶ Ἀλέξανδρος ὁ μέγας οὐκ ἀπηξίωσε τὸν ὀλίγον τι ταῖς χερσὶν ὕδωρ κομίσαντα [2]). Μετ᾽ οὐ πολὺ δέ, ἢν Θεὸς διδῷ, καὶ ἄλλην συλλογὴν τὴν τῶν ἀποφθεγμάτων προσοίσω ὑμῖν· ἀδελφὰ γάρ, κατὰ τὸν εἰπόντα, παροιμίαι καὶ ἀποφθέγματα. Ἐγὼ μὲν οὖν, ᾧ σεβασμία ὁμήγυρις, ὃ κατὰ δύναμιν εἶχον, πάρεστιν· ὑμῶν δὲ ἕκαστος τὸν οἰκεῖον ἔρανον μὴ ἀποστερείτω καθὰ δυνάμεως ἔτυχεν. Οὕτω δὲ ποιοῦντες, ἐντολὴν πληροῦμεν Θεοῦ ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας· Ἀμήν.

Ἐῤῥῶσθε μὲν τῷ σώματι, ὑγιαίνετε [3]) δὲ τῇ ψυχῇ, κατὰ Χριστὸν ἀδελφοί.

Παρθένιος Ἱερομόναχος ὁ Κατζιούλης, ὁ ἐξ Ἰωαννίνων,

τῆς ὑμετέρας λογιότητος ἐν Χριστῷ ἀδελφός.

Ὁρισμὸς παροιμιῶν.

Παροιμία ἐστὶ παραίνεσις ἠθῶν, καὶ παθῶν ἐπανόρθωσις.

Παροιμία γάρ ἐστι λόγος βιωφελής, παρὰ τὴν ὁδὸν λεγόμενος, οἷον παροδία, οἶμος γὰρ ἡ ὁδός.

[1]) Χ. ὧν.

[2]) Ἀναφέρεται εἰς τὸ γνωστὸν περὶ τοῦ Ἀρτοξέρξου διήγημα (βλ. Αἰλιαν. Ποικ. ἱστ. Α′, 32), ὅπερ πολλοὶ τῶν ἡμετέρων λογίων ἐν ταῖς ἀφιερώσεσι τῶν βιβλίων αὐτῶν ἐπαναλαμβάνουσι.

[3]) Χ. ὑγυαίνετε

НБ ОНУ імені І.Мечникова

Παροιμία ἐστὶ λόγος ἀπόκρυφος, δι' ἑτέρου προδήλου σημαινόμενος.

[φ. 2 α] Παροιμία ἐστὶ λόγος ὠφέλιμος ἐν τῷ βίῳ, ἐπὶ κρύψει μετρίᾳ πολὺ τὸ χρήσιμον ἔχων ἐν ἑαυτῷ.

Παροιμία ἐστὶ λόγος ἐπικαλύπτων τὸ σαφὲς ἀσαφείᾳ.

ΠΑΡΟΙΜΙΩΝ ΣΥΝΑΓΩΓΗ

12. [φ. 2β] Ἄγετέ με καὶ κλαίουσαν. — Ἐπὶ τῶν ἃ ὁλοψύχως στέργουσι προσποιητῶς ἀποστρεφομένων.

14. Ἁγιασθῆναι βουληθεὶς, ἐναγὴς ἐγένετο. — Ἐπὶ τῶν ἀγαθόν τι λαβεῖν ἐγχειρούντων, τοὐναντίον δὲ πασχόντων.

15. Ἅγιον οὐ βοηθοῦντα μὴ προσκύνει. — Ἐπὶ τῶν μηδὲν εὐεργετούντων.

21. Ἀγρὲ πόσων ἧς, καὶ πόσων ἔσῃ; — Ἐπὶ ῥευστῶν, καὶ ἀστάτων· τοῦτο καὶ πρὸς οἰκίας, καὶ πρὸς χρήματα, καὶ πρὸς ἄλλα πολλὰ μὴ διαμένοντα λέγεται.

23. Ἀγροῖκος ἐὰν μὴ ἀφαιρεθῇ τὸ σκιάδιον, τέλος οὐκ ἀποτίσει. — Ἐπὶ τῶν μὴ ἑκουσίως ἀποτιόντων τὸ χρέος.

37. [φ. 3α]. Ἅδου πρωκτῷ περιπέσῃς· — ἤγουν τελευτήσῃς.

73.]φ. 4β] Αἷμα ὕδωρ οὐ τελεῖται. — Ἐπὶ τῶν ὑπὸ τῶν συγγενῶν εὐεργετουμένων.

74. Αἴξ εἰς τὴν ἑορτήν. — Ἐπὶ τῶν εὐκαίρων ἐπί τι ἀφικνουμένων.

83. Αἰσχύνη πᾶσα μετὰ τῆς ἰδίας παραμυθίας. — Ἐπὶ τῶν τὰς ἑαυτῶν ἁμαρτίας τρόπῳ τινὶ καλυπτόντων.

86. Αἰσχυνόμενος πολλῶν καλῶν στέρεται. — Ἐπὶ τῶν δι' αἰδῶ τὰ ἐλλείποντα μὴ αἰτούντων.

95. [φ. 5α] Ἄκαιρος πρόξενος εἰς ἑαυτὸν ἀφορᾷ. — Ἐπὶ τῶν τὸ ἴδιον συμφέρον προτιμώντων.

12. Βλ. κλαίω 63. — Χ. ὁλοψύχου —
14 Βλ. θέλω 33. Πρβλ. καὶ πηγαίνω 19. — Χειρ. ἀγαθῶν τί.
15. Βλ. ἅγιος 8. Χειρ. εὐεργετούτων.
21. Βλ. χωράφι 8. 23 Βλ. βλάχος 9.
37. Βλ. διάβολος 106. 73. Βλ. αἷμα 12. 74. Βλ. πανηγῦρι 7.
83. Βλ. πομπὴ 26. 86. Βλ. ἐντρέπυμαι 19. Χ. αἰτούντων
95. Βλ. προξενητὴς 1. Χ. προτιμόντων.

НБОНУ імені І.І.Мечникова

122. [φ. 6α] Ἀλεκτορὶς ὕδωρ πίνουσα, εἰς Θεὸν ὁρᾷ.—Ὅτι δεῖ πάντα μετὰ δικαιοσύνης πράττειν.

125. Ἄλευρα καλοῦ ἀνδρὸς πέμματα, καὶ τηγανῖται.—Ἐπὶ δαπανηρῶν γυναικῶν, ἁπλοῦς ἄνδρας ἐχουσῶν.

141. [φ. 7α] Ἄλλοθι τὰ ἄσματα, ἀλλαχοῦ δὲ γεννῶσιν ἀλεκτορίδες.—Ἐπὶ τῶν πλουτεῖν φαινομένων, ἀτυχούντων δέ· ἑτέρων δὲ πένεσθαι δοκούντων, ἀλλ᾽ εὐπορούντων.

146. Ἄλλος ἱερέα θέλει, ἕτερος ἱέρειαν.—Ὅτι οὐ τὸ αὐτὸ εὐάρεστον τοῖς πᾶσι.

149. Ἄλλος τὸ πῦρ ἅπτει, ἕτερος δ᾽ αὐτὸ ἐξάπτει. Ἐπὶ τῶν τὸ παρ᾽ ἄλλων ἄρξαν κακὸν ἐπιτελούντων.

152. Ἄλλο τὸ ἰδεῖν, ἄλλο δὲ τὸ ἀκοῦσαι.—Ὅτι οἱ ὀφθαλμοὶ πιστότεροι ἀκοῆς.

154. Ἀλλοτρίῳ οἴνῳ μὴ χέε ὕδωρ.—Ἐπὶ τῶν ἐθελόντων τὰ ἀλλότρια διορθοῦν.

155. Ἀλλοτρίῳ χορῷ πόδα τίθεσθαι.—Ἐπὶ τῶν ἀλλοτρίαις ὑποθέσεσι φιλονεικούντων.

159. [φ. 7β] Ἄλλους ὁ ἀκούων, ἄλλοσε βαίνει.

160. Ἅπαντας πυθόμενος, τοῦ νοὸς μὴ παρατρέπου.—Ὅτι οὐ δεῖ εἰς πάντα συμβούλοις χρῆσθαι, ἀλλὰ καὶ ἀφ᾽ ἑαυτῶν δεῖ σκοπεῖν τὸ γινόμενον.

167. Ἀλώπεκι ἐπέταξαν, ἡ δὲ τῇ κέρκῳ.—Ἐπὶ δούλων ἐπιταγὴν παρὰ τῶν κυρίων λαβόντων, αὐτῶν δ᾽ ἑτέρους ἐπιταττόντων.

171. Ἀμαθὴς ἀναξυρίδα περιθέμενος, πᾶσι ταύτην ἐδείκνυ.—Ἐπὶ τῶν δι᾽ ἀπειρίαν, καὶ ἀλαζονείαν τὰ ἀπρεπῆ δημοσιευόντων· ἢ ἐπὶ τῶν εὐπορούντων ὧν οὐκ εἰσὶν ἄξιοι. Ἀναξυρὶς δὲ τὸ κοινῶς λεγόμενον βρακίον.

122. Βλ. θεὸς 106. Χ. Ἀλεκτρίς. 125. Βλ. ἄνδρας 79.
141. Βλ. ἀλλοῦ 39. 146. Βλ. ἀγαπῶ 13. Χ. ἱερά.
149. Βλ. ἄλλος 125. 152. Βλ. βλέπω 8.
154. Βλ. ξένος 152. 155. Βλ. ἀλλότριος 3. Χ. χωρῷ.—
159. Βλ. κόσμος 52
160. Βλ. ῥωτῶ 22. Χ. παρατρέπων· συμβόλους· ἀφ᾽ ἑτῶν. (Ἡ ἑρμηνεία ἀναφέρεται εἰς ἀμφοτέρας τὰς παροιμίας).
167. Βλ. ὁρίζω 9. 171. Βλ. ἀναξυρὶς 1.

НБ ОНУ імені І.І.Мечникова

174. [φ. 8 α] Ἁμάξῃ Ἀγαρηνοὶ ἁλίσκονται τὸν λαγόν. — Ἐπὶ τῶν μετὰ ἀνέσεώς τι πραττόντων.

179. Ἃ μὲν πίνεις ἀποχέεις, ἃ δ' ὀφείλεις ἀποτίεις. — Ἐπὶ τῶν τηνάλλως τὰ οἰκεῖα καταναλισκόντων, τὸ δὲ χρέος οὐκ ἀποτιόντων· ὃ κατ' ἀνάγκην μέλλουσιν ἀποδοῦναι.

182. Ἃ μὴ κερδῶ καταλαμβάνει, ἠρτημένα ταῦτα ἔχει. — Ἐπὶ τῶν τὰ μὴ ἐφικτὰ ὑποκρινομένων ἔχειν.

183. Ἄμισθον ὄξος γλυκύτερον μέλιτος. — Ἐπὶ τῶν τὰς χάριτας στεργόντων.

197. Ἀναγκαιότερος πυρὸς καὶ ὕδατος ὁ φίλος.

204. [φ. 8 β] Ἀναψυχὴν τῷ ἀσθενοῦντι ἕως ἂν ἀποβιώσῃ. —Ἐπὶ ἀνωφελῶν ψυχαγωγιῶν.

205. Ἄνδρ' ἀπολύει τὰ πολλά, καὶ γυναῖκα δὲ τὰ ὀλίγα. — Ὅτι ὁ μὲν ἀνὴρ διὰ κέρδος μοχθηρὰν λαβών, ἡ δὲ διὰ κάλλος ἀνδρὸς ἢ δι' ἄλλο τι, ἀπόλλυνται.

206. Ἄνδρας μὲν μαγείαις, παῖδας δὲ φαρμάκοις.— Ἐπὶ τῶν ἐπί τι μεταβαλλομένων.

214. [φ. 9 α] Ἀνεμοσυνάγματα δαιμονοσκεδάσματα. — Ὅτι ⟨τὰ⟩ κακῶς συναγόμενα οὐ μόνιμα.

227. Ἄνθρωπος μὲν πολύβουλος, θεὸς δὲ βουληκόπος. — Ἐπὶ τῶν δεινόν τι ἐργάσασθαι βουλομένων, ὑπὸ θεοῦ μὴ συγχωρουμένων.

228. Ἄνθρωπος ἀνθρώπου λύκος.—Ἐπὶ τοῦ μὴ δεῖν παρέχειν πίστιν ἀνθρώπῳ ἀγνοουμένῳ.

232. [φ. 9 β] Ἀνθρώπου παράκλησις ἀγγαρεύματι ἔοικεν. —Ἐπὶ τῶν δι' αἰδῶ τοῖς φίλοις ὑπακουόντων.

250. [φ. 10α] Ἀνώγαια κατώγαια τοῖς λόγοις κτίζει μόνοις.

174. Βλ. λαγὸς 50. Χ. ἀγαρινοί. 179. Βλ. χρωστῶ 29.
182. Βλ. φτάνω 23. 183. Βλ. χάρισμα 8.
197. Ἡ παρ. αὕτη, ἄγνωστός μοι ἄλλοθεν, ἴσως διεσκευάσθη ὑπὸ τοῦ Κατζιούλη εἰς στίχον πολιτικὸν ἐξ ἀρχαίας τινὸς γνώμης, ἂν μὴ παρεφράσθη καὶ αὕτη ἐκ δημώδους.
204. Βλ. παρηγοριὰ 3. 205. Βλ. πολὺς 75
206. Βλ. μάγια 3. 214. Βλ ἀνεμομαζώματα 2
227. Βλ. θεὸς 139. Χ. δεινῶν τι — 228. Βλ. ἄνθρωπος 8.
232. Βλ. παρακάλεση 1. 250. Βλ. λόγος 93.

НБ ОНУ імені І.І.Мечникова

258. Ἃ οἰκοδεσπότης οἶδεν, ἀγνοεῖ ὁ σύμπας κόσμος. — Ἐπὶ τῶν τὰ τοῦ ἑτέρου ἀγνοούντων.

267. [φ. 10^{c}] Ἅπαν ἡμῖν τὸ χρέος κρόμμυα εἴη. — Ἐπὶ τῶν ὀλίγα ὀφειλόντων καὶ ἀτελῆ.

273. Ἅπαξ πυρρὸς καὶ δέκατον χλωρός. — Ἐπὶ τῶν δανειζομένων· οὓς ἀνάγκη ἐρυθριᾶν, καὶ μελαίνεσθαι· ἐρυθριῶσι γάρ, ὅτε τὴν ὀφειλὴν ἀπαιτῶνται· μελαίνονται δὲ φοβούμενοι μὴ εἰς φυλακὴν ἐμβληθῶσιν.

274. Ἅπας ὁ κόσμος δώδεκα, Πόλις δὲ δεκαπέντε. — Ἐπὶ τῶν καθ' ὑπερβολὴν διὰ μέγεθος, ἢ δι' ἄλλο τι προτέρημα ἐπαινουμένων.

275. Ἀπείλει σὸν πρωκτόν, μή σου τῇ ἀναξυρίδι ἀποπατήσῃ. — Ἐπὶ τῶν ἀνισχύρως ἀπειλούντων.

277. Ἀπερριμένος υἱός, ἀγαθὸς οἰκοδεσπότης. — Ἐπὶ τῶν πρότερον μὲν καταφρονουμένων, ὕστερον δὲ τιμωμένων.

278. Ἀπέστη ὄρνις ἢ τὸ μέγα τίκτουσα ὠόν. — Ἐπὶ τῶν μηκέτι εὐεργετουμένων δι' ἀτυχίαν τῶν εὐεργετούντων.

280. Ἀπίεσαν καὶ ὠὰ καὶ κάλαθοι. — Ἐπὶ τῶν μεγάλην ὑποστάντων ζημίαν.

286. [φ. 11^{a}] Ἀπὸ γάμου πάρειμι τρέμω δὲ πείνης. — Ἐπὶ τῶν ἀπὸ τραπέζης πολυτελοῦς ἐπανιόντων, δι' αἰδῶ δὲ ἢ δι' ἄλλο τι κωλῦον, τῶν ἐκεῖσε οὐκ ἀπολαμβανόντων.

289. Ἀπὸ θύρας ἁμάρτοι.

290. Ἀπὸ θύρας ἡ ἁμαρτία. — Ἐπὶ τῶν ἀπὸ πρώτης ἀρχῆς ἔργου τινος ἢ λόγου παρεκτρεπομένων.

292. Ἀπὸ κακοῦ χρεοφειλέτου καὶ σάκκος ἀχύρου καλός. — Ἐπὶ τῶν μικρόν τι λαμβανόντων ἀπὸ δυστρόπων χρεοφειλετῶν.

300. Ἀπὸ πασσάλου τὸ ξυστόν. — Δηλοῖ τὸ λαβεῖν καὶ ἐπιμεληθῆναι τοῦ οἰκείου ἔργου.

258. Βλ. νοικοκύρης 49. 267 Βλ. χρέος 7.
273. Βλ. κόκκινος 9. 274. Βλ. Πόλη 5.
275. Βλ. φοβερίζω 5. Χ. ἀναξυρίδη. 277. Βλ. παιδὶ 17. Χ. τιμωμένον.
278. Βλ. αὐγὸ 38, Χ. ἢ τὸ 280. Βλ. αὐγὸ 65. 286. Βλ. γάμος 6.
289. 290. Βλ. ἁμαρτία 8. Διὰ κοινῆς γραμμῆς δηλοῦται ὅτι ἡ ἑρμηνεία ἀναφέρεται εἰς ἀμφοτέρας τὰς παροιμίας.
292. Βλ. χρεοφειλέτης 4. 300. Βλ. ἀπὸ 24.

НБ ОНУ імені І.І.Мечникова

302. Ἀπὸ πέτρας ἐπὶ λίθον.— Ἐπὶ τῶν διὰ κακὰς προσποιήσεις τῶν ὀφειλόντων [11β] ἀποκρουομένων τῶν παρ᾽ αὐτῶν λαβεῖν ζητούντων.

303. Ἀπορία ψάλτου βήξ.—Ἐπὶ τῶν ἐν ἀπορίᾳ προσποιουμένων τι πράττειν.

305. Ἀπορρίπτων τὰ μικρά, τὰ μεγάλα δὲ ζητῶν, ἔλκε τὴν χειρομύλην. — Ἐπὶ τῶν τὰ μικρὰ ἀγαθὰ μὴ στεργόντων, ἐν πειρασμοῖς δὲ περιπιπτόντων.

306. Ἀποστολικὴν διάγεις πολιτείαν. — Ἐπὶ τῶν ἐναρέτων καὶ θεαρέστως βιούντων.

310. Ἀπ᾽ οὐρᾶς τὴν ἔγχελυν ἔχεις. — Ἐπὶ τῶν τοὺς δυστρόπους καταγωνίσασθαι ἐπιχειρούντων, οἵτινες πολυτρόπως ἀποφεύγουσιν, ὡς ἡ ἔγχελυς.

312. Ἀπρεπὲς καὶ δύσμορφέ μου τὶ δεῖ ἑσπέρας πρῶτον φαγεῖν;— Ἐπὶ δυσειδῶν μέν, εὐπορούντων δέ.

331. [φ. 12α] Ἄρκτον ὁρῶν ἐν τῇ τοῦ γείτονος ἀμπέλῳ, καὶ τῇ σαυτοῦ προσδόκα.— Ὅτι οὐ δεῖ κακὸν εὔχεσθαι τῷ πλησίον.

334. Ἀρνῶν δέρματα πλείω, ἢ τὰ τῶν οἰῶν. — Ἐπὶ τῶν τὸν θάνατον ἀναβαλλόντων.

338. [φ. 12^{b}] Ἀρτζιβούριον καλεῖ, ἄρτον δὲ λιτὸν ἐσθίει. — Ἐπὶ τῶν μόλις τὰ ἀναγκαῖα ἐχόντων.

340. Ἄρτοι πολλοὶ τῷ πεινῶντι καθ᾽ ὕπνους. — Ἐπὶ τῶν τὰ ἐλλείποντα φανταζομένων.

341. Ἄρτον μὴ καταγνύειν. — τουτέστι μὴ ἀποκρούεσθαι τὴν φιλίαν. Καταγνύειν δὲ τὸ κατακλᾶν.

344. Ἀρχηγοῦ παρόντος, ἀρχὴ παυσάσθω.

355. Ἄσον δέσποτα. Πάσχω τὸν ὄνυχα. — Ἐπὶ τῶν ἄνευ αἰτίας προσποιουμένων.

302. Βλ. ἀπὸ 16. 303. Βλ. βῆχας 2.
305. Βλ. γυρεύω 38. 306. Βλ. ἀποστολικὸς 1.
310. Βλ. χέλι 4. 312. Βλ. ἄσχημος 3.
331. Βλ. γείτονας 47. 334. ἀρνιακὸ 1. Χειρ. οἴων.
338. Βλ. ἀρτσιβοῦρτσι 1. 340. Βλ. πεινῶ 32.
341. Βλ. ψωμὶ 12. 344. Βλ. ἀρχηγὸς 1.
355. Βλ. ψάλλω 12.

НБ ОНУ імені І.І.Мечникова

356. Ἄστει παλαιῷ νέον ἔθος μὴ ποίει.

378. [φ. 13^{b}] Αὐλῆς σου διψώσης μὴ ἔκχεε ὕδωρ. — Ὅτι δεῖ τῶν οἰκείων μᾶλλον, ἢ τῶν ἀλλοτρίων ἐπιμελεῖσθαι.

398. [φ. 14^{a}] Αὐτοῦ καθέζου, δυστυχῆ, δι' ὃ δὲ βλέπεις μηδὲν λέγε. — Ἐπὶ τῶν διὰ χρείαν τὰ πάντα ὑπομενόντων.

401. Αὐτῷ πήχει, — ἤτοι τῷ αὐτῷ κανόνι, καὶ τῷ αὐτῷ μέτρῳ.

403. Ἀφελόντος μου τὸ πέπερι, ἔωλόν σου τὸ ἔψημα. — Ἐπὶ τῶν καταφρονούντων ὧν χρήζουσι· ἢ ἐπὶ τῶν κομπαζόντων ὡς δῆθεν ἀφ' ἑαυτῶν τι δυναμένων, παρ' ἄλλων ἐχόντων τὴν δύναμιν.

409. Ἄφρακτος ὁ κῆπος, ἔρημα τὰ λάχανα. — Ἐπὶ τῶν δι' ἀνεπιμέλειαν φθειρομένων.

414. Ἄφρονι ὁμιλῶν λίθον κράτει. — Ὅτι δεῖ φυλάττεσθαι τοὺς ἄφρονας καὶ κακούργους.

415. [φ. 14^{b}] Ἄφρων κώδωνα οὐ φέρει. — Ὅτι ὁ ἄφρων ἐκ τῶν ἔργων δηλοῦται.

416. Ἄφρων χάριν λαβών, ἤσθη, ἔμφρων δ' ἠνιάθη.

430. Ἄψαι τυφλοῦ καὶ λάβε ὀφθαλμούς. — Ἐπὶ τῶν ἀπὸ τῶν μηδὲν ἐχόντων λαμβάνειν ζητούντων.

435. [φ. 15^{a}] Βαλάντιον τεθνηκότος ἐκκενοῦται.

449. [φ. 15^{b}] Βάτραχος ἐχολώθη, ἡ δὲ λίμνη ἀγνοεῖ. — Εἰρωνικῶς ἐπὶ τῶν ἀφρόνων κατὰ τῶν κρειττόνων ἐπαιρομένων.

453. Βδέλυγμα ἐρημώσεως· ἦν εἴδωλον καὶ ἐκτύπωμα τῆς ἐρημώσεως· ἦσαν δὲ εἰκόνες τινὲς ἀπηγορευμέναι τῶν νόμων, εἰς τοῦτο εἰσκομιζόμεναι. Ὃ δὴ Πιλάτος πεποίκε· λέγεται δὲ ἐπὶ τῶν ἐβδελυγμένων.

455. Βελόνην τὸν γύην ἀποτελεῖ. — Ἐπὶ τῶν θελόντων αὐξῆσαί τι, δι' ἀνοησίαν δὲ σμικρυνόντων καὶ ἐλαττούντων.

356. Βλ. καινούριος 4. 378. Βλ. διψῶ 4.
398. Βλ. βλέπω 74. 401. Βλ. μετρῶ 14.
403. Βλ. λείπω 30. Χειρ. Ἀφελοῦντος — 409 Βλ. ἄφρακτος 1.
414. Βλ. μωρὸς 63. 415 Βλ. μωρὸς 128.
416 Βλ. χάρη 16. 430. Βλ. πιάνω 33.
435. Βλ. πεθαμένος 16. 449. Βλ. κακιώνω 2.
453. Βλ. βδέλυγμα 1. 455. Βλ. κάνω 62.

НБ ОНУ імені І.І. Мечникова

457. Βία πενήτων πλουσίου παράκλησις. — Παρόσον οἱ μὲν πένητες ἀναγκάζονται, οἱ δὲ πλούσιοι θρύπτονται.

487. [φ. 16β] Βραδύνει μὲν θεός, ἀμνημονεῖ δ᾽οὔ. — Ὅτι ὁ ἁμαρτάνων οὐκ ἀτιμώρητος εἰς τέλος.

490. Βρῶσις πολλὴ ὄγκον φέρει, ὀλίγη δὲ θεραπείαν. — Ὅτι ἡ ὀλιγαρκία χρήσιμον.

495. [φ. 17α] Γαλῇ γραῒ παρακαθεζόμενος, μὴ πτοοῦ μύας. — Ἐπὶ τῶν μεγάλους συνηγόρους ἐχόντων· ὁμοίᾳ τῇ:

495α. Φίλον ὁ ἔχων τὸν κριτήν.

499. Γαλῆς ἀπούσης χορεύουσι μύες.—Ἐπὶ τῶν διὰ φόβον συστελλομένων.

501. Γαμβρὸς καὶ νύμφη συμφωνοῦσιν εἰς αἰσχύνην τῶν οἰκείων.—Ἐπὶ τῶν ἀλλήλοις διά τι συμφωνούντων, συμβούλων ἑτέρων καὶ μὴ δεομένων.

502. Γαμβρὸς υἱὸς οὐ γίνεται, οὐδ᾽ ἡ νύμφη θυγάτηρ. — Ἐπὶ τῶν ἀπὸ ἀλλοτρίων βοηθείας οὐ λαμβανόντων.

505. Γαστὴρ οὐκ ἔχει ὦτα.—Ἐπὶ τῶν διὰ πεῖναν μὴ ἀκουόντων λόγους, κοσμίους τε καὶ ἀστείους.

506. Γειτνιῶσα, ἡ οἰκία σου ἐκάη.—Ἐγώ, ἔφη, τὴν κλεῖδα φέρω.—Ἐπὶ τῶν ἐπισφαλέσι βοηθήμασι θαρρούντων, ὡς μωρῶν ὄντων.

507. Γειτνιῶσα, ὁ ἀνήρ μου εἰς μύλον ὤχετο, ἐγὼ δὲ γήμασθαι, ἢ διαμείνω; — Ἐπὶ γυναικῶν ἀσέμνων καὶ ἀφρόνων.

508. Γελᾷς δέσποτα; κακῶς δέ.—Ἐπὶ τῶν τὰ μέλλοντα συμβαίνειν ἀγνοούντων.

512. Γενειάδα ὁ ἔχων, ἰχθὺν ἐσθίει.— Ἐπὶ ἐντίμων προτιμωμένων τῶν μὴ τοιούτων.

539. [φ. 18α] Γνῶσις ὑστέρα προτέρα μοι εἴη. — Ἐπὶ τῶν μεταμελουμένων ἐπί τινι.

457. Βλ. πλούσιος 1. Ἡ τε παρ. καὶ ἡ ἑρμηνεία αὐτῆς ἐκ τοῦ Ἀποστολ. 397.
487. Βλ. θεὸς 51. 490. Βλ. φαγεῖ 21.
495. Βλ. γέρος 48. Χ. μῦας. 495α. Βλ. κατὴς 8.
499. Βλ. γάτος 27. Χ. μῦες. 501. Βλ. γαμπρὸς 39.
502. Βλ. γαμπρὸς 13. 505. Βλ. κοιλιὰ 20.
506. Βλ. κλειδὶ 2. Χ. ἔφην. ἐπισφλέσι. 507. Βλ. παντρεύομαι 5. Χ. μῦλον.
508. Βλ. γελῶ 13. 512. Βλ. γένεια 20. 539. Βλ. ὑστερινὸς 36.

НБ ОНУ імені І.І.Мечникова

543. Γοργοὺς ὁ ἔχων ἵππους, γοργῶς ἱππεύει.—Ἐπὶ τῶν εὐχερῶς τὰ πάντα πραττόντων δι' εὐπορίαν.

545. Γραῦς ἀμοιροῦσα διαβόλου, ἐπρίατο σῦν.

546. Γραῦς ὀβολὸν κατέθετο ἐμβῆναι χορῷ, εἶτα δύο βαλοῦσα, ἐξελθεῖν οὐκ ἠδύνατο.—Ὁμοία τῇ, πράγματ' ἐξ ἀπραξίας. Ἐπὶ τῶν παρ' ἐλπίδα συμβαινόντων δι' ὧν ἐπιχειροῦσιν.

555. [φ. 18β] Γυμνὸν ἕνα μύριοι ἐνδεδυμένοι, ἐκδῦσαι ἀδυνατοῦσιν.—Ὅτι ἀπὸ τῶν μηδὲν ἐχόντων οὐδεὶς δύναται λαμβάνειν.

557. Γυμνὸς ἐθίσας, ἱματισμένος αἰσχύνεται. —Ἐπὶ τῶν ἀγαπώντων ἐν οἷς εἰσί, διὰ τὸ ἐν ἕξει γενέσθαι τῆς ἀτυχίας.

569. Δάνεια τὰ ἄλευρα, δανεία καὶ ἡ ζύμη. —Ἐπὶ τῶν τὸ δάνειον μὴ ἀποδιδόντων.

570. Δανειζόμενος ἐντρύφα, ἀποτίων δέ, πιέζου. —Ἐπὶ τῶν εὐχερῶς δανειζομένων [φ. 19α], δυσκόλως δὲ ἀποτιόντων.

571. Δάνειον ὁ πίνων δὶς μεθύει.—Ἐπὶ τῶν μετὰ πόνου καί πως τὸ δάνειον ἀποτιόντων.

585. Δέκα μέτρει, μίαν δὲ τέμνε. —Ὅτι μετὰ πολλῆς σκέψεως δέον ποιεῖν ὃ ποιεῖ τις.

594. [φ. 19β] Δέσποιναν καλείτω με, πεῖνα δὲ φθειρέτω με. —Ἐπὶ τῶν σεμνύνεσθαι βουλομένων, καίτοι ἐνδεῶν ὄντων.

596. Δεσπότου μ' ἀγαπῶντος, μισείτωσαν ἅπαντες. —Ἐπὶ τῶν προκρινόντων τὴν τῶν κρειττόνων εὔνοιαν.

597. Δεῦρο, πλακοῦ, φαγεῖν σε.—Ἐπὶ τῶν μὴ θελόντων πονεῖν.

613. [φ. 20α]. Διάνοια ὄρνιθος ἐν κέγχρῳ. —Ἐπὶ τῶν παρανενοημένα λεγόντων, ἢ πραττόντων, διὰ τὸ πρὸ ἄλλο ἀφορᾶν τὸν αὐτῶν νοῦν.

543. Βλ. ἔχω 150. 545. Βλ. γουροῦνι 12.
546. Βλ. γριὰ 16. —Ἡ ἑρμηνεία «ἐπὶ τῶν παρ' ἐλπίδα κτλ.» κοινὴ εἰς ἀμφοτέρας τὰς παρ. 545-6.
555. Βλ. γυμνὸς 3. 557. Βλ. μαθαίνω 30.
569. Βλ. δανεικός 12. 570. Βλ. δανείζομαι 2.
571. Βλ. δάνειον 1. 585. Βλ. μετρῶ 8 Χ. μία δέ.
594. Βλ. λέγω 28. 596. Βλ. ἀγαπῶ 18.
597. Βλ. πέφτω 27.
613. Βλ. νοῦς 74. Χ. παρανενοημένων.

НБ ОНУ імені І.І.Мечникова

615. Διὰ τὴν ἀπειρίαν εἰς πᾶσαν ἦλθον ἀπορίαν.—Ἐπὶ τῶν διὰ τὴν ἀπαιδευσίαν ἀτυχήμασιν ἐμπιπτόντων.

616. Διὰ τὸ κάρφος ἀποβάλλει τὸ πέταλον.—Ἐπὶ τῶν τοῖς μικροῖς ἀκριβολογουμένων, ἐκ τούτου δὲ ζημίαν μεγάλην ὑφισταμένων.

618. Διὰ φίλον ἕκαστος πλεῖστα καταναλίσκει.—Ἐπὶ τῶν τοῖς φίλοις ἀντιβοηθούντων.

619. Διδάσκαλος διδάσκων, νόμους μὴ φυλάττων.—Ἐπὶ τῶν τοὺς ἄλλους τὰ σεμνὰ διδασκόντων, αὐτῶν δὲ ἀσέμνως διαγόντων, ὁμοίᾳ τῇ, χρηστολόγοι.

620. Διέβη δορὰ τοῖς δώδεκα. — Ἐπὶ τῶν τὰ οἰκεῖα κακῶς δαπανώντων· σκυτοτόμος τις οἰνοπώλῃ δώδεκα ὀφείλων ὀβολούς, ἀπέδοτο τὴν δοράν· ἐρωτηθεὶς δὲ ποῦ ἡ δορά; ἔφη.

621. Διεσπάρησαν λαγωοῦ παῖδες ὥς!—Ἐπὶ τῶν παροίκων· λαγωὸς γάρ τεκών, διίστησι τὰ οἰκεῖα τέκνα, καὶ χωρὶς ἕκαστον ἀνατρέφει.

626. Δίκην ἀστραπῆς ἡ χείρ σου ἐπὶ τῇ τοῦ φίλου πήρᾳ. —Ἐπὶ τῶν τοὺς ἄλλους ζημιούντων.

627. [20 β]. Δίκην κυνός. — Ἐπὶ τῶν κακουργούντων.

630. Δι᾽ ὅλης ἡμέρας μὲν καλός, ἑστέρας δὲ ὁ αὐτὸς κακός. — Ἐπὶ τῶν τοὺς δούλους πρὸς ἐργασίαν προτρεπόντων, τὰ πρὸς χρείαν δὲ μὴ δαψιλῶς διδόντων.

636. Διπλῇ μαχαίρᾳ κείρεσθαι.—Ἐπὶ τῶν θηλυπρεπῶν τῶν κατὰ τὰς γυναῖκας κοσμουμένων· μάχαιρα δὲ τὴν ψαλίδα ὑποφαίνει, ᾗ χρῶνται αἱ γυναῖκες εἰς κόσμον τῆς κεφαλῆς καὶ τοῦ προσώπου.

640. [φ. 21α] Δὶς ἡ πέτρα ἐν ταὐτῷ.—Ἐπὶ τῶν τὰ αὐτὰ πολλάκις πασχόντων.

642. Δίσκος διπρόσωπος. — Ὁμοία τῇ, Ἴανος ἄλλος.

615. Βλ. ἀπειρία 1. 616. Βλ. χάνω 20.
618. Βλ. φίλος 15α. 619. Βλ. διδάσκω 1
620. Βλ. προβειὰ 2. Χ. δαπανόντων. 621. Βλ. λαγὸς 55.
626. Βλ. χέρι 59. 627. Βλ. σκύλος 61.
630. Βλ βράδυ 2. 636. Βλ. κουρεύω 2.
640. Βλ. μαθαίνω 39.
642. Βλ. διπρόσωπος 2. Χ. Ἴαννος.

НЕОНЧ имени Л.Н.Мелникова

651. Δὸς ἄρτον τυχὸν καὶ κόνδυλον ὄψον ἐπ᾽αὐτῷ.—Ἤγουν χορήγησον τὸ ἀρκοῦν παιδίῳ ἢ τινι τοιούτῳ προσώπῳ· καὶ εἰ μὴ ἀρκεῖται, ἀλλ᾽ ὀχλῇ εἰς πλέον, τότε δὴ ἐπίβαλλε ἀντὶ τοῦ ὄψου.

652. Δόσις χειρὸς ἄνεσις ψυχῆς. — Ἐπὶ τῶν σωτηρίας τυγχανόντων δι᾽ εὐποιίαν.

653 Δός κᾀμοὶ καὶ τῷ παιδί μου, ὁ δ᾽ ἀνήρ μου πρὸ τῆς θύρας. — Ἐπὶ τῶν πλεονεκτῶν καὶ ἀκορέστων.

654. Δός μοι, κυρία, τὸν ἄνδρα σου, σὺ δὲ ἔχε τὸν κόπανον. — Ἐπὶ τῶν ἑαυτοῖς τὰ ἀναγκαῖα ζητούντων, ἑτέροις δὲ τὰ ἀνωφελῆ διδόντων.

656. Δούλευέ μοι, δυστυχές, μὴ γενήσωμαι ὡς σύ. — Ἐπὶ τῶν ἄλλους ἀμισθὶ διακονούντων.

662. [φ. 21[6]] Δρυὸς αὐξομένης, συναύξεται ἡ σκιά. — Ἐπὶ τῶν εὐδοκιμούντων.

664. Δυοῖν ἀδελφοῖν μαχομένοιν, μωροὶ δύο ἔχαιρον.— Ἐπὶ τῶν ἀγαλλομένων ἐν τοῖς τῶν ἄλλων κακοῖς.

665. Δυοῖν ἀσκοῖν, ὁ τυχὼν διαρρήξεται. — Ἐπὶ τῶν ἀλλήλοις μαχομένων.

666. Δύο πόδας ἐνὶ ὑποδήματι.—Ἐπὶ τῶν κατά τι βιαζομένων.

668. Δυστυχὲς ἄνερ, πάντων φθαρέντων, σὺ ἐπανῆλθες. —Ἐπὶ τῶν τοῖς ἀχρείοις ἀρεσκομένων.

670. Ἔαρ χελιδὼν οὐ καθίστησι μία. — Ἤτοι μία ἡμέρα οὐ ποιεῖ τὸν σοφὸν εἰς τελείωσιν ἐμβαλεῖν, καὶ δυσημερία μία τὸν σοφὸν εἰς ἀμάθειαν.

673. Ἔγγὺς ἀμπέλου φύτευε, ἐγγὺς χωρίου οἴκει.— Ἐπὶ τῶν ἀπὸ τῶν ἄλλων χωριζομένων.

680. [φ. 22α] Ἐλθὲ ὁ τρέμων ἐμοὶ τῷ ῥιγοῦντι.

651. Βλ. δίνω 46. Χ. ἐπέβαλλε — 652. Βλ. δόσιμο 1.
653. Βλ. δίνω 34. 654. Βλ δίνω 40
656. Βλ. δουλεύω 13. 662. Βλ. αὐξαίνω 5.
664. Βλ. ἀδελφὸς 7. 665. Βλ. δύο 12.
666. Βλ. δύο 70. 668. Βλ. ἄνδρας 59
670. Βλ. ἕνας 48. Χ. δυσυημερία. Ἡ ἑρμηνεία ἐκ τοῦ Σουίδ. λ. μία χελιδὼν καὶ τοῦ Ἀποστ. 1063.
673. Βλ. χωριὸ 18. 680. Βλ. ἔρχομαι 12.

НБ ОНУ імені І.І.Мечникова

681. Ἐνὶ βοΐ πάντες ἀροῦμεν.—Ἐπὶ τῶν ὁμοιοπαθῶν. Πένης τις ἑνὶ βοΐ ἀρῶν εἰς ἕτερον ἀπῆρε χωρίον, κἀκεῖσε ἀγρότῃ περιτυχὼν ἑνὶ ἀροῦντι βοΐ, ἔφη.

683. Ἐγὼ οὐκ ἀδηφάγος, ἀλλὰ δὴ σχετλιάζων καὶ προσκλαιής. — Ἐπὶ τῶν μὴ ἀπολαμβανόντων ὧν δεῖ.

685. Ἐγώ φημι ὅτι εὐνοῦχος, αὐτὸς δέ μοι πόσους κέκτησαι λέγει, παῖδας;—Ἐπὶ τῶν τὰ αὐτὰ ἐκ δευτέρου ἐπανερωμένων.

686. Ἐθίζον γίγνεσθαι, οὐκ ἀπογίνεται. — Ὅτι ἀμετάβλητον τὸ εἰθισμένον.

687. Εἶδος μὲν ἐπισκόπου, καρδία δὲ μυλωθροῦ. — Ἐπὶ τῶν εὐπρεπὲς εἶδος ἐχόντων, δειλῶν δὲ καὶ ἀνάνδρων.

688. Εἰ θεὸς κορώνης ἠκροᾶτο, ὄνοι πάντες ἀπωλοῦντο. — Ἐπὶ τῶν παραλόγως καταρωμένων, διὸ καὶ μὴ εἰσακουομένων.

689. Εἰ θύτης ἐν ναῷ, ὄρθρος ὑπεμφαίνει. — Ὁμοίᾳ τῇ, ἡμέρας φωσκούσης.

697. [φ. 22$^{\text{b}}$] Εἴ μου ὁ νοῦς ἐν τῷ ἀγρῷ, εὑρεθείησαν οἱ βόες. — Ἐπὶ τῶν μὴ θελόντων πονεῖν.

698. Εἰ οἶδεν ἕκαστος ὁμιλεῖν, καὶ ὄνοι συ⟨ν⟩ηγωνίζοντο ἵπποις. — Ἐπὶ τῶν πρός τι ἀνεπιτηδείων.

699. Εἶπας λόγον κατὰ θύρας. — Εἰρωνικῶς. Ἐπὶ τῶν παρὰ τὸ δέον ὁμιλούντων.

700. Εἰπεῖν σοι φαγεῖν ἤθελον, ὁρῶ δὲ τὰς χεῖράς σου ἐν πολλῇ ἀσχολίᾳ. — Ἐπὶ τῶν ἀνυποστόλως ἐσθιόντων.

702. Εἴπω σοι τὸ ἀσφαλὲς καὶ σύντομον. — Ἐπὶ τῶν συντόμως καὶ ἀληθῶς λεγόντων.

703. Εἰργασμένον, ζηλούμενον.—Ὅτι τὸ μετ᾽ ἐπιμελείας γινόμενον ζηλωτόν.

681. Βλ. ἕνας 95 Χ. περιτυχεῖν. Ἡ ἑρμηνεία ἀναφέρεται καὶ εἰς τὴν προηγουμένην ὁμοιώδη καὶ εἰς τὰς ὑπ᾽ ἀριθ. 678 καὶ 679 ἀρχαίας: « Ἐγὼ δὲ καὶ σὺ τὸν αὐτὸν ἕλκομεν ζυγόν ». « Εἰς ἀσθενοῦντας ἀσθενῶν ἐλήλυθα »

683. Βλ. παραπονιάρης 1.

685. Βλ. λέγω 46.

686. Βλ. γίνομαι 22.

687. Βλ. θεωρία 1.

688. Βλ. θεὸς 36.

689. Βλ. παπᾶς 13 Χ. Ὄρθος.

697. Βλ. νοῦς 58.

698. Βλ. ὁμιλῶ 7. Χ. εἶδεν.

699. Βλ. λέγω 66.

700. Βλ. τρώγω 110.

702. Βλ. λέγω 118.

703. Βλ. δουλεύω 8.

НБ ОНУ імені І.І.Мечникова

712. [φ. 23α] Εἰσέλθετε, κύνες, ἀλήσετε, μισθοὺς δὲ μὴ παρέξητε.— Ἐπὶ παντελοῦς ἐρημίας.

713. Εἷς θεὸς καὶ πολλοὶ φίλοι.— Ἐπὶ τοῦ δεῖν μετὰ θεόν, καὶ πολλοὺς ἔχειν φίλους.

714. Εἰς θεοῦ ὦτα ἦλθεν.— Ἐπὶ τῶν μὴ λανθανόντων, ἐφ' οἷς ἔπραξαν.

715. Εἰσὶ καὶ μέλανες καὶ λευκοὶ γέλωτες. — Ἐπὶ λυπουμένων, ἄξιον δέ τι γέλωτος ἀκουόντων.

721. Εἴσοδος νόσου ἐν σάκκῳ, ἔξοδος δὲ βελόνῃ. — Δυσέκβλητος γὰρ ἡ νόσος.

733. [φ. 23 β] Εἰ τὸν ὑετὸν ὁ λύκος ἐφοβεῖτο, περιεβέβλητο κάλυμμα. — Ἐπὶ τῶν δι' ἀνδρείαν μηδένα πτοουμένων.

734. Εἰ τυρὸν εἶχον οὐκ ἂν ἐδεόμην ὄψου.— Ἐπὶ τῶν τοῖς ὀλίγοις καὶ αὐτοσχεδίοις ἀγαπώντων.

735. Ἕκαστος αὑτοῦ τὸ βδέλος μήλου γλύκιον ἡγεῖται. —Ἐπὶ τῶν τὰ οἰκεῖα αἰσχρὰ ὡς ἀγαθὰ οἰομένων.

755. [φ. 24α] Ἐκ τοῦ αὐτοῦ στόματος τὸ θερμόν, καὶ τὸ ψυχρὸν ἐξάγειν. — Ἐπὶ τῶν ψεγόντων καὶ ἐπαινούντων.

760. Ἐκ τοῦ λέγειν τὸ λέγειν πορίζεται. — Ἐπὶ τῶν διὰ συνέχειαν κατορθούντων τι.

766. Ἔχε, δέσποινα, γαμβρόν, πῦρ ἐν τῇ οἰκίᾳ σου. — Ἐπὶ τῶν φθοροποιῶν.

773. [24 β] Ἐλθ', ὦ πάππος, ἐπιδείξω σοι τὰ παππῷα. — Ἐπὶ τῶν ἐπαγγελλομένων ὧν μηδεμίαν πεῖραν ἔχουσιν.

774. Ἕλκε ἵππον, μή σε ὄνος πατήσῃ.—Ἐπὶ τῶν εἰρωνικῶς ἐπαιρομένων κατὰ τῶν κρειττόνων.

779. Ἐμέ σοι μὴ παρέχειν, ἕκαστος δὲ λεγέτω.—Περὶ σφαλερᾶς ὑπολήψεως, ἣν ἔχει τις κατά τινος.

712. Βλ. ἀλέθω 7. 713. Βλ. φίλος 23.
714. Βλ. θεὸς 86. 715. Βλ. γέλιο 7.
721. Βλ. ἀρρώστια 6. 733. Βλ. φοβοῦμαι 4.
734. Βλ. ἔχω 16. Χ. ὄψον. 735. Βλ. ἑαυτοῦ 2. Χ. γλυκίου.
755. Βλ. στόμα 8. 760. Βλ. λόγος 134.
766. Βλ. γαμπρὸς 18. 773. Βλ. δείχνω 14. Χ. ἐχόντων.
774. Βλ. ἄλογο 23. 779. Βλ. δίνω 52.

НБ ОНУ імені І.І.Мечникова

780. Ἐμοῦ πταιούσης, διαρραγείη μου ὁ ἀνήρ, αὐτοῦ δέ, αὐτὸς οὗτος. — Ἐπὶ τῶν ὅλως πεῖραν ἀτυχημάτων μὴ θελόντων λαβεῖν.

782. Ἐμπεπλησμένος ἀπιστεῖ τῷ πεινῶντι. — Ἐπὶ τῶν τοὺς ἄλλους ὡς ἑαυτοὺς οἰομένων.

785. Ἔμπορον ζητῶν τελώνου τετύχηκα. — Ἐπὶ τῶν κέρδος τι ζητούντων, ζημίας δὲ ὑφισταμένων.

786. Ἔμπροθεν κρημνὸς ὄπισθεν λύκοι. — Ἐπὶ τῶν δυσὶ κακοῖς ἐμπιπτόντων, καὶ ἐνδοιαζόντων διὰ τὸν κίνδυνον.

787. Ἔμφοβος ἀπειλητήρ. — Ἐπὶ δειλῶν ἀνδρείαν ἐνδεικνυμένων.

788. Ἔμφρων μὲν λαβίδα ἔχων, ἄφρων δὲ τὴν ταύτης χρῆσιν. — Ἐπὶ τῶν ⟨τῶν⟩ οἰκείων πραγμάτων ἀμελούντων, ἑτέροις δὲ χρῆσθαι διδόντων.

789 Ἐνάγων ἐναγόμενος. — Ἐπὶ τῶν ἄλλους αἰτιωμένων, αὐτῶν δὲ ὑπευθύνων ὄντων· ὁμοίᾳ τῇ, αἱροῦντες ⟨ἠρήμεθα⟩.

791. [φ. 25α] Ἐν ἀνομβρίᾳ καλὴ καὶ ἡ χάλαζα. — Ἐπὶ τῶν δι' ἔλλειψιν τῶν ἀναγκαίων, καὶ τὰ βλαβερὰ ἀντὶ χρησίμων κρινόντων.

803. Ἐν ἡλίῳ εἰσάγει, ἐν ἡλίῳ ἐξάγει. — Ἐπὶ προβάτων εἴρηται κακῶς ποιμενομένων· ὅθεν ἐπὶ τῶν κακῶς τὰ αὐτῶν διοικούντων.

808. Ἐνὶ καλοποδίῳ πάντας ὑποδέουσιν. — Ἐπὶ ἰατρῶν ἑνὶ φαρμάκῳ πάντας θεραπευόντων.

809. Ἐνιψάμην ἐν ἀθώοις τὰς χεῖράς μου. — Ἀντὶ τοῦ ἀθῶον ἐμαυτὸν ἐτήρησα.

810. Ἐν καιρῷ λαβών, ἐν χρείᾳ μ' ἔχεις. — Ὅτι πρὸ τῆς χρείας ⟨δεῖ⟩ τὰ χρειώδη ἑτοιμάζειν.

780. Βλ. φταίω 6. Χ. αὐτὸς δὲ- 782. Βλ. χορταίνω 17 Χ. πεινόντι.
785. Βλ. βρίσκω 126. 786. Βλ. ἔμπρὸς 10.
787. Βλ. φοβοῦμαι 10. 788. Βλ. φρόνιμος 6.
789. Βλ. ἐνάγων 1. 791. Βλ. καλὸς 57. Χ. χαλάζα.
803. Βλ. ἥλιος 33. Χ. Ἐν ἁλίῳ.-
808. Βλ. ἕνας 99. Χ. Ἐν καλωδίῳ π. — (καλοποδίῳ διορθοῖ καὶ ὁ ἀντιγράψας τὸν κώδ. ἱερομόναχος κ. Πατρίκιος Κωνσταντινίδης).
809. Βλ. νίβω 2. 810. Βλ. ἔχω 38.

НБОНУ імені П.Мелникова

818. [φ. 25 β] Ἐν Μαΐῳ μηλωτήν, ἐν Αὐγούστῳ δὲ διφθέραν.— Ἐπὶ τῶν ἐπαρωμένων τισὶ νοσῆσαι, καὶ οὕτω χρήσασθαι ἱματίοις τοιούτοις.

821. Ἐννεάψυχος κύων.—Ἐπὶ τῶν σφόδρα καρτερικῶν.

832. [φ. 26 α] Ἐν πάσχα μὲν ἔχειν φαγεῖν, μετὰ τοῦτο δὲ φορεῖν.—Ἐπὶ τῶν τὰ ἀρκοῦντα μὴ ἐχόντων.

835. Ἐν περικεφαλαίᾳ ἡμῖν ἔτεκεν ἀλεκτορίς.—Ἐπὶ τῶν εὐτυχίαν εὐτελῆ σημῆναι βουλομένων.

838. Ἐν πολλοῖς σάκκον μὴ λύσῃς, εἰ δέ γε λύσεις μηκέτι δέσῃς.—Ὅτι οὐ δεῖ σπάνιόν τι ἐπὶ πολλῶν δωρεῖσθαι· πάντες γὰρ θέλουσιν, ἐκεῖνο δ' ἴσως οὐκ ἀρκεῖ.

839. Ἓν πρὸς ἕν φασι.—Ὅτι οὐ δεῖ ἀδιακρίτως, ἀλλὰ μετὰ τάξεως ἓν καθ' ἓν διατάττειν.

840. Ἐν πρωκτῷ πράου παραχειμάζουσι δαίμονες.—Ἐπὶ τῶν πράων μὲν φαινομένων, μεστῶν δὲ κακιῶν ὄντων.

844. [φ. 26 β] Ἐν σκότῳ ὁ γαμῶν, ἐν φωτὶ αἰσχύνεται.—Ἐπὶ τοῦ μὴ δεῖν τι ἐν κρυπτῷ πράττειν.

847 Ἐν τῇ φωνῇ καὶ ὁ Λάζαρος.—Ἐπὶ τῶν ὧν ἄν τις μνησθῇ εὐθὺς παραγενομένων.

850. Ἐν τοῖς τόποις τῶν τυφλῶν Λάμων βασιλεύει.—Ἐπὶ τῶν μικρὰν παίδευσιν ἐχόντων, παρὰ δὲ τοῖς ἀμαθέσι τελείων φαινομένων. Μονόφθαλμος γὰρ ὁ Λάμων.

878. [φ. 27 β] Ἐπ' ἄκρων ὀνύχων.—Ἐπὶ τῶν μετὰ προθυμίας ἀκροωμένων καὶ ἐπὶ τῶν ὑπερηφάνων.

884. Ἐπέστη τούτῳ ὡς γλαυκὶ ὄρνις.—Ἐπὶ τῶν παρ' ἐλπίδα τι κερδαινόντων. Γλαὺξ γὰρ ἐν ὀπῇ διημερεύουσα, πτηνά τινα πλησιάζοντα λαβοῦσα, τροφῇ χρῆται.

890. [φ. 28 α] Ἐπὶ κυνὸς πρὸς κεφαλῆς ψωμὸς οὐ διαμένει.—Ἐπὶ ἀδηφάγων καὶ ἁρπάγων.

818. Βλ. Μάης 45.
821. Βλ. σκύλος 22α.
832. Βλ. πάσχα 9.
835. Βλ. γεννῶ 10. Χ. ἀλεκτρίς.
838. Βλ. πολὺς 64.
839. Βλ. ἕνας 37.
840. Βλ. ταπεινὸς 3.
844. Βλ. παντρεύω 48.
847 Βλ. φωνὴ 9.
850. Βλ. τυφλὸς 5. Χ. τοῦ μικράν
878. Βλ. νύχι 15.
884. Βλ. μποῦφος 1.
890. Βλ. σκύλος 100.

НБ ОНУ імені І.Мечникова

899. Ἐπὶ τῆς χαρᾶς καὶ ὁ φορολόγος.—Ἐπὶ τῶν ἀνελπίστως συμβαινουσῶν δυσχερειῶν.

901. Ἐπὶ τόπου ἀκερδοῦς μήποτε πολὺ καθέζου.

906. Ἑπόμενον τὸ ἄναντες τῷ κατάντει.—Ἐπὶ τῶν ποτὲ μὲν εὐτυχούντων, ποτὲ δὲ δυστυχούντων.

921 [φ. 29α] Ἐρῶμεν ἀλλοτρίων, παρορῶμεν συγγενεῖς.—Ἐπὶ τῶν τῶν πλησίων ὀλιγωρούντων, κηδομένων δὲ τῶν ἀλλοτρίων.

926. Ἐσθ' ὅτε πλακοῦντα, καὶ κρατῆρα, ἄλλοτε πλακοῦντα μόνον.—Ἐπὶ τῶν μὴ τὰ αὐτὰ ἀεὶ ἐχόντων.

929. Ἔσο καὶ λέων ὅπῃ χρή, καὶ πίθηκος ἐν μέρει.—Ἐπὶ τοῦ πρὸς τὰ πράγματα μεταβαλλομένου καλῶς.

936. Ἔτος φέρει οὐχὶ ἄρουρα.—Ὅτι οὐ τοσοῦτον ἡ εὐγένεια πρὸς ἀρετὴν συμβάλλεται [φ. 29 β], ὅσον ἡ ἀγαθὴ διαγωγή. Ὥσπερ οὐδὲ ἡ γῆ, ἀλλ' ἡ εὐκαιρία τὴν εὐφορίαν ἀποτελεῖ.

938. Εὐγενεῖ ἐφώνησαν, ὁ δ' ἔχων ἀπεκρίθη.—Ἐπὶ πλουσίων ἀγενῶν εὐγένειαν ὑποκρινομένων.

939. Εὐγενεῖ συνομιλῶν, κατανάλισκε τὸν βίον.—Ὅτι δεῖ μετὰ ἐντίμων συνομιλεῖν.

943. Εὐδαίμων ὁ μὴ δεθείς.—Ἐπὶ τῶν μοναδικὴν βιοτὴν αἱρουμένων.

944. Εὐδαίμων ὁ μηδὲν ὀφείλων.

947. Εὐήθει δάκτυλον μὴ δείξῃς, ἵνα μὴ καὶ τὴν παλάμην καταπίῃ.—Ἐπὶ τοῦ μὴ δεῖν συγχωρεῖν τοῖς ἀνοήτοις μηδὲ τὸ σμικρόν· διὰ γὰρ τούτου καὶ ἐν τοῖς μεγάλοις βλάψουσιν ἡμᾶς.

951. Εὔμορφε καλέ μου ἄνερ, δός μοι τίποτε φαγεῖν.—Ἐπὶ τῶν εὐειδῶν μέν, εὐτελῶν δέ.

955. [φ. 30α] Εὗρεν ἡ ἀρὶς τὸν ὄζον.—Ἐπὶ τῶν τοῖς κρείττοσιν ἀντιτασσομένων.

899. Βλ. χαρὰ 7. Χ. συμβαινόντων. 901. Βλ. ἀδιαφόρετος 3.
906. Βλ. ἀνήφορος 7. 921. Πρβλ. ξένος 8.
926. Βλ. πότε 9. 929. Βλ. λεοντάρι 9.
936. Πρβλ. καιρὸς 65. 938. Βλ. ἔχω 71.
939. Βλ. εὐγενὴς 4. 943. Βλ. δένω 17.
944. Βλ. χρωστῶ 9. 947. Βλ. δείχνω 20. Χ. Εὐηρη δ.
951. Βλ. ὄμορφος 11. 955. Βλ. βρίσκω 54.

НБОНУ імені Г.І.Мелишкова

956. Εὗρεν ἡ κορυφὴ τὸν πυθμένα. — Ἐπὶ τῶν ἀφειδῶς τὰ οἰκεῖα δαπανώντων.

957. Εὗρεν ἡ λοπὰς τὸ πῶμα. — Ἐπὶ τῶν ἁρμοδίως συζευγνυμένων· λοπὰς δὲ ἡ χύτρα.

958. Εὗρεν ἡμῖν ἡ νύμφη ὄπισθεν θύρας τὸν γύην. — Ἐπὶ τῶν εὐηθές τι πραττόντων. Γύης δὲ τὸ κοινῶς λεγόμενον γυννί.

959. Εὗρε τὸν ὀβολὸν ἐν ἰλύι. — Ἐπὶ τῶν ἐλπίδι κέρδους ζημίαν ὑφισταμένων. Ἴσως ὀβολόν τις ἐν ἰλύι κύψας λαβεῖν, ἐνέπεσεν αὐτῇ.

965 Εὐφορήσέ ποτε καὶ χωρίον κακόν. — Ἐπὶ τῶν ὀψὲ καλόν τι ποιούντων.

966. Εὔχου τῷ πλησίον ἔχειν, ἐπὶ πλέον δὲ τῇ χύτρᾳ. — Τουτέστι καλὸν μὲν τὸ πλούσιον ἔχειν γείτονα, κάλλιστον δὲ ἡμᾶς αὐτοὺς πλουσίους εἶναι.

967. Ἔφαγεν ἡ κύων τὰ ἄλευρα. — Ἐπὶ τῶν μετὰ προσποιήσεως ἀρνουμένων.

971. Ἔχει καὶ ἡ μυῖα σπλῆνα.

972. Ἔνεστι καὶ μύρμηκι χολή. — Ἐπὶ τῶν μὴ δεῖν μηδὲ τῶν μικρῶν καταφρονεῖν, καὶ γὰρ πολλάκις καὶ παρὰ τῶν ἐλαχίστων τὰ μέγιστα βλαπτόμεθα.

974. Ἔχε σὺ τὸ σόν, ἐγὼ δὲ τοὐμόν. — Ὅτι δεῖ τοῖς ἰδίοις ἀρκεῖσθαι ἕκαστον.

979. [φ. 30β] Ἔψησον ὠόν, πάρεσμεν γὰρ ἐννέα. — Ἐπὶ τῶν τὰ μὴ ἀρκοῦντα ἑτοιμαζόντων, ἢ δι' ἔνδειαν ἢ διὰ φειδώ.

980. Ἕως ἀποκοσμηθῆναι τὴν νύμφην, ὀφθαλμοὶ οἱ τοῦ νυμφίου ἐξῆλθον. — Ἐπὶ τῶν ἐπί τι χρονιζόντων.

956. Βλ. πάτος 4. 957. Βλ. βρίσκω 61.
958. Βλ. βρίσκω 60. 959. Βλ. βρίσκω 75. — Χ. ὀβολόν τις ἐν ἰσχύϊ.
965. Βλ. κάνω 16. 966. Βλ. γείτονας 22.
967. Βλ. τρώγω 95. 971. Βλ. ἔχω 78.
972. Βλ. ἔχω 92. Χ. χολός. Ἡ ἑρμηνεία δηλοῦται διὰ κοινῆς γραμμῆς ὅτι ἀναφέρεται καὶ εἰς τὴν προηγουμένην παρ.
974. Βλ. δικός μου 16. 979. Βλ. αὐγὸ 95.
980. Βλ. γαμπρὸς 48.

НБ ОНУ імені І.Мечникова

983. Ζέοντι κάλλιον λούσαιτο μετὰ σποδοῦ μεμιγμένῳ. — Ἐπὶ τῶν πικρῶς τιμωρῆσαι ἀπειλούντων.

984. Ζεῦγος καὶ κλάδος. — Ἐπὶ τῶν ὑπ' ἀλλήλων ἀγαπωμένων.

991. Ζῆσον, ὦ ἵππος, εἰς νομὴν καλῆς πόας.

992. Ὃ ζήσων ζησάσθω. — Ἐπὶ δικαίων καὶ ἀδίκων· τὸ μέλλον ⟨ἄδηλον⟩.

996. [φ. 31 α] Ζυγοῦ τὸ τρίζειν, τρίζει δ' ἅμαξα. — Ἐπὶ τῶν ἐναντία ὑφισταμένων.

997. Ζύμην ἐν χαλκεῦσι. — Ἐπὶ τῶν παρ' ὧν οὐκ ἔχουσι ζητούντων τι.

998. Ζύμη χρονίζουσα οἰδαίνει. — Ἐπὶ καλῶν ἢ κακῶν εἰς τὸ μεῖζον χωρούντων.

1007. Ἠγγάρευόν τινα· ὁ δὲ ὄκνῳ εἶχετο. — Ἐπὶ τῶν δυναστείαν ὑπόκρισιν οἰομένων.

1008. Ἥδε γραῦς προσκολληθεῖσα ἑστιᾶσαί μου τὴν ὄρνιν. — Ἐπὶ τῶν διά τινα χρείαν πολλὴν φιλίαν ἐνδεικνυόντων.

1012. [φ. 31 β] Ἢ ἱερεὺς ἢ ζευγηλάτης. — Ἐπὶ τῶν πολλοῖς ἐγχειρήμασι καταγινομένων.

1015. Ἡλίκον ὑπνώσας, πηλίκον ὄνειρον ἐθεάσω. — Ἐπὶ τῶν ἐπί τι προθυμουμένων, καὶ μὴ ἀνεχομένων.

1019. Ἡμεῖς γελῶμεν δώδεκα, ἡμᾶς πολλάκις ἄλλοι. — Ἐπὶ τῶν αἰσχύνης ἀξίων, ἑτέρους δὲ περιπαιζόντων.

1020. Ἡμεῖς ἐν ξένοις, ξένοι δὲ τοῖς ἐμοῖς. — Ἐπὶ τῶν ἐν ἀποδημίαις ὄντων.

1021. Ἢ μέλι ἐπὶ γλώττης, ἢ ἀργύριον ἐν χειρί. — Ἐπὶ ὀφειλόντων· ὅτι δεῖ προσηνῶς ὁμιλεῖν, εἰ οὐκ ἔχουσιν ἀποτῖσαι.

983. Βλ. λούζω 2 Χ. λούσατο

984. Βλ. ζευγάρι 1. 991. Βλ ζῶ 12.

992. Βλ. ζῶ 20. — Διὰ κοινῆς γραμμῆς δηλοῦται ἐν τῷ χειρογράφῳ ὅτι ἡ ἄλλως ἀτυχὴς καὶ ἀκατανόητος ἑρμηνεία ἀναφέρεται καὶ εἰς τὴν προηγουμένην παρ.

996. Βλ. ἀντὶ 8. 997. Βλ. γύφτος 22.

998. Βλ. προζύμι 2. 1007. Βλ. ἀγγαρεύω 1.

1008. Βλ. συγκολλιέμαι 1. 1012. Βλ. παπᾶς 28.

1015. Βλ. ὄνειρο 21. 1019. Βλ. γελῶ 30.

1020. Βλ. ξένος 29. 1021. Βλ. γλῶσσα 35.

НБ ОНУ імені І.І.Мечникова

1023. Ἡ μὲν κυρία τὴν οἰκίαν, ἡ δὲ θεράπαινα τὴν κλεῖδα.—Ἐπὶ κλεπτόντων.

1026. Ἡμέρα ἀγαθὴ ἀπ' ὄρθρου γνωστή.—Ἐπὶ τῶν ἀπὸ πρώτης ἀρχῆς οἵους δεῖ γενέσθαι φαινομένων.

1027. Ἡμέρας φωσκούσης ἴδωμεν πάντες.—Ἐπὶ τῶν ἀδήλων καὶ μελλόντων· ὁμοίᾳ τῇ, εἰ θύτης ἐν ναῷ κ.τ.λ.

1029. [φ. 32 α]. Ἡμῶν ψωμοῦ ἀμοιρούντων, οἱ κύνες πλακοῦντας σύρουσι.—Ἐπὶ ἐνδεῶν ὑπερηφάνων, εὐπορίαν ἐνδεικνυόντων· ἢ ἐπὶ τῶν ⟨τῶν⟩ οἰκείων μὴ ἐπιμελουμένων.

1040. Ἡ ῥακώδη περικειμένη καὶ παῖδα φέρουσα πρὸς χορὸν μὴ κατελθέτω.—Ἐπὶ τῶν μὴ τὰ συντείνοντα πρὸς τοῦργον ἐχόντων.

1042. Ἡσθεῖσα γραῦς ἐν σύκοις, ἔδεται καὶ τὰ φύλλα.—Ἐπὶ τῶν διὰ συνήθειαν τὴν λιχνίαν αὐξομένων.

1047. Ἤ τύψον τὸν εὐγενῆ ἢ μὴ δοκίμαζε.—Ἐπὶ τῶν πολύ τι ζητούντων.

1054. [φ. 32 β] Θαλλὸν κόψας, αὐτὸν κάλει.—Ἐπὶ τῶν πάνυ ἁπλῶν καὶ ἀκάκων.

1055. Θαλλοῦ θάλλοντος, ἡ πάχνη κωλύει.—Ἐπὶ τῶν εἰς τὸ προκόπτειν κωλυομένων.

1059. Θανόντος τοῦ ἵππου μου, πόα μὴ βλαστησάτω.—Ἐπὶ τῶν φιλαύτων.

1069. [φ. 33 α] Θείου με καὶ θείας φυλαττόντων, πῦρ καὶ φλὸξ με περιφλέγει.—Ἐπὶ τῶν ἀπὸ τῶν οἰκείων βλαπτομένων.

1070. Θέλοντος οὐκ ἤθελες, νῦν θέλοντος οὐ θέλω.—Ἐπὶ τῶν ἐν ταὐτῷ μὴ συμφωνούντων.

1071. Θέντος μου, θέντος σου, προκαθέζου.—Ἐπὶ τῶν ἔρανον ἐξίσου τιθεμένων.

1023. Βλ. κυρὰ 3. 1026. Βλ. ἡμέρα 26.
1027. Βλ. φέγγω 1. 1029. Βλ. ἔχω 65.
1040. Βλ. χορὸς 12. Χ. Ἡ ῥακίδη. 1042. Βλ. γριὰ 21.
1047. Βλ. Βλ. ἀρχοντόπουλο 2. 1054. Βλ. κόβω 11.
1055. Βλ. ἀφίνω 20. 1059. Βλ. ψοφῶ 8.
1069. Βλ. θεῖος 3. 1070. Βλ. θέλω 129.
1071. Βλ. βάλλω 20.

НБ ОНУ імені І.Мечникова

1075. Θεὸς τὴν κακουχίαν, ὁ αὐτὸς τὴν θεραπείαν.—Ὅτι τὰ πάντα παρὰ θεοῦ.

1076. Θεοῦ θέλοντος βοηθοῦσιν ἅγιοι.

1077. Θέουσι νέαι μετὰ σάκκων, γραῖαι δὲ μετὰ πηρῶν.—Ἐπί τινων χρησίμων καὶ ἐφετῶν.

1080. [φ. 33β] Θὲς ἄλευρα καὶ τέλει πλακοῦντα.—Ἐπὶ τῶν εὐτελῶς γινομένων.

1089. Θηρεύσει ποτὲ λαγωὸν καὶ τὸ χωλόν μου κυνίδιον.—Ἐπὶ ἀνισχύρων, ἐλπιζόντων τι εὐδοκιμῆσαι.

1102. [φ. 34α]. Θύτην εὕρομεν φρενήρη, καὶ δι' ὅλης ἄδομεν.—Ἐπὶ τῶν δι' ἐπιείκειαν τῶν δεσποτῶν τὰς αὐτῶν πραττόντων θελήσεις.

1106. [φ. 34β]. Εἴδομεν καὶ Δημοσθένην ἀγράμματον.—Ἐπὶ τῶν πρόσωπον φιλοσόφου, ἢ προσηγορίαν ἐντίμου ὑποκρινομένων.

1108. Ἱεροκατήγορος, ἱεροκατάρατος.

1119. Ἱππέα πόδας ἔχοντα κρεμαμένους μὴ λυποῦ.—Ἐπὶ τῶν τὰ λυσιτελῆ ὡς ἀσυντελῆ οἰομένων.

1123. Ἵππον ὄμμα τρέφει δεσπότου.—Ὅτι ἡ παρὰ τῶν δεσποτῶν οἰκονομία ἐπιμελεστέρα τῆς τῶν δούλων.

1125. Ἵππος οὐκ ἀπὸ τοῦ ὠτὸς χωλαίνει.—Ἐπὶ τῶν τὴν αἰτίαν τοῦ πταίσματος μὴ εὐστόχως λεγόντων.

1126. Ἵππος τεσσαράκοντα, σάγη δὲ ἑξήκοντα.—Ὅταν τὰ κρείττω ἐλάττω τιμὴν ἔχωσι τῶν ἡττόνων.

1127. Ἵππος τὸν ἐπιβάτην.—Νόει τὸ ἁφαρπάζει· λέγεται δὲ πηνίκα ἐκ τῆς ὁρμῆς τοῦ λόγου ἁφαρπαζόμενοι, εἰς ἑτέραν ὑπόθεσιν μεταφερόμεθα.

1075. Βλ. θεὸς 149. 1076. Βλ. θεὸς 201.
1077. Βλ. τρέχω 47. 1080. Βλ. βάλλω 3.
1089. Βλ. κουτσὸς 4.
1102. Βλ. μωρὸς 65. (τὸ φρενήρης ἐν τῇ σημασίᾳ τοῦ ἄφρων).
1106. Βλ. ἀγράμματος 3. Χ. Ἴδομεν. 1108. Βλ. ἱεροκατήγορος 1.
1119. Βλ. καβαλλάρης 10. 1123. Βλ. μάτι 116.
1125. Βλ. κουτσαίνω 14 1126. Βλ. σαμάρι 9.
1127. Βλ. καβαλλάρης 12.

НБ ОНУ імені І.І.Мечникова

1128. Ἵππος ὑπὸ μισθὸν θνήσκει.—Ἐπὶ τῶν διὰ μισθὸν πᾶσαν ζημίαν ὑφισταμένων.

1130. Ἵππου ὁ ἐπιβαίνων ἀλλοτρίου μέσον ἀγυιᾶς πεζεύει.—Ὅτι ἀπὸ τῶν ἀλλοτρίων οὐδὲν ὄφελος.

1140. [φ. 35 α]. Ἰχθύες δύο συντηγανίζονται, καὶ ἀλλήλοις ἀπιστοῦσι.—Ἐπὶ τῶν τὰ αὐτὰ πασχόντων.

1141. Ἰχθὺς ἀπὸ τῆς κεφαλῆς ὄζει.—Ἐπὶ δεσποτῶν παρανομούντων.

1147. Καθ' ἑκάστην χαίρετε.—Ἐπὶ τῶν συχνῶς ἔν τισι διατριβόντων.

1148. Καθ' ἣν ἔκαστος χαίρει στρωμνήν, ἐφαπλούτω τοὺς πόδας.—Ἐπὶ τῶν ὑπὲρ δύναμιν θελόντων βιοῦν.

1149. Καθ' ἣν ἔχω κεφαλὴν προσκυνῶ.—Ἐπὶ τῶν κατὰ δύναμιν ὑπηρετούντων.

1150. Καθῆσθαι προσκυνήσαντας.—ἤτοι τοὺς ἀρχομένους πράξεώς τινος ἐμμένειν δεῖ ἐν αὐτῇ.

1157 [φ. 35 β] Καὶ ἐν κρήνῃ ἀπιὼν ὕδατος ἀποτυγχάνεις.—Ἐπὶ τῶν δι' ἀνεπιτηδειότητα δυστυχῶν.

1160. Καὶ κακὸς ὁ μύλος καὶ βαρὺς ὁ μισθός.—Ἐπὶ τῶν μηδὲν ὑγιὲς ἐχόντων.

1161. Καὶ κορώνη καὶ τετράς.—Ἐπὶ τῶν τὰ μὴ καθήκοντα προτρεπομένων ποιεῖν· ἐβιάζετο γάρ τις κορώνην φαγεῖν, τετράδος οὔσης.

1163. Καὶ ὁ νιπτόμενος μεθ' ἡμῶν ἐσθίει;—Ἐπὶ τῶν τὰ μὴ ἀνήκοντα οἰκειοποιουμένων· ὁ γὰρ ἐρωτῶν, τῆς τραπέζης μὴ ὢν, προσποιεῖται εἶναι.

1164. Καὶ παιδὶ δῆλον.—Ἐπὶ τῶν γνωριμ⟨ωτ⟩άτων.

1128. Βλ. ἀγῶγι 3.
1130. Βλ. ξένος 118. Χ. πετρεύει.
1140. Βλ. πιστεύω 5.
1141. Βλ. κεφάλι 100.
1147. Βλ. καλημέρα 8.
1148. Βλ. ἁπλώνω 11. ξαπλώνω 2.
1149. Βλ. προσκυνῶ 5.
1150. Βλ. προσκυνῶ 1. Χ. ἐρχομένους πρᾶξιν τινά
1157 Βλ. βρίσκω 139.
1160. Βλ. κακὸς 35.
1161. Βλ. τετράδη 5.
1163. Βλ. τρώγω 121 Χ. Καὶ ὁ νιπτόλεμος.
1164. Βλ. βλέπω 75.

НБ ОНУ імені І.І. Мечникова

1167. Καὶ σοῦ χωρίς, καὶ μετὰ σοῦ τὸ ζῆν με ἀπαρέσκει. — Ἐπὶ τῶν διὰ οἰκειότητα συνοικούντων, διά τινα δὲ δυσχέρειαν μὴ συμφωνούντων.

1168. Καὶ τὰ πολλὰ ὁ ἔχων, καὶ τὰ ὀλίγα ἐθρήνει. — Ὅτι οὐδεὶς ἀλύπως ζῇ.

1170. Καὶ τόδε μοῖρά μοι, κἀκεῖνο μέρος μου. — Ἐπὶ τῶν τὰ πάντα οἰκειοποιουμένων.

1172. Καὶ τὸ ξίφος ἐν χειρί, καὶ ἡ μάχη ἐν αὐτῷ. — Ἐπὶ τῶν ἐξουσιαστῶν.

1181 [φ. 36α]. Κακὸν ἄγγος οὐ κλᾶται.

1182. Κακὸς ἀνὴρ μακρόβιος. — Ἐπὶ τῶν κακῶν τῶν μὴ βλαπτομένων ἐν τοῖς κινδύνοις.

1186. Κακὸς χρόνος ἄπεισι, κακὸς δὲ γείτων οὐκέτι. — Ἐπὶ μονίμων κακῶν.

1190. [φ. 36β] Καλὰ τὰ πλατέα, ἀλλ' ὁ λίνος ὀλίγος. — Ἐπὶ τῶν τὰ πολυτελῆ ἀγαπώντων.

1191. Καλή μου ἡ νύμφη, παραβλῶψ δέ. — Ἐπὶ τῶν εἰρωνικῶς τινα ἀποσεμνυνόντων.

1193. Κάλλιον ἀνθράκων πέντε, ἢ προβάτων δισμυρίων. — Ἐπὶ τῶν τοῖς οἰκείοις ἐπιτηδεύμασιν ἀγαπώντων. Χαλκεύς τις προτρεπόμενος προβάτοις χρήσασθαι, πρὸς τὸ τὴν τύχην μεταβαλεῖν ἔφη.

1194. Κάλλιον λόγους ἐν ἀγρῷ, ἢ μάχην ἐν ἄλωνι. — Ὅτι δεῖ βεβαίας ποιεῖν τὰς συνθήκας.

1197. Κάμηλος ἐπιθυμήσασα κεράτων καὶ τὰ ὦτα προσαπώλεσεν. — Ἐπὶ τῶν τῶν ἀλλοτρίων ἐφιεμένων καὶ οὕτω τὰ ἴδια ἀφαιρουμένων.

1167. Βλ. ἀντάμα 1. 1168. Βλ. κλαίω. 23.
1170. Βλ. μοῖρα 49. 1172. Βλ. σπαθὶ 2.
1181. Βλ κακὸς 53.
1182. Βλ. κακὸς 7. — Ἡ ἑρμηνεία ἀναφέρεται εἰς ἀμφοτέρας τὰς παρ.
1186. Βλ γείτονας 28. 1190. Βλ. καλὸς 22.
1191. Βλ. νύφη 26. 1193. Βλ. κάρβουνο 2.
1194. Βλ. λόγος 50.
1197. Βλ. καμήλα 12. Ἡ τε παρ. καὶ ἡ ἑρμηνεία κατὰ τὸν Ἀποστόλ. 743.

НБ ОНУ імені І.І.Мечникова

1199. Καμήλου μνησικακία.— Ἐπὶ τῶν ἄγαν μνησικάκων· αὕτη γὰρ διαμνημονεύει ὧν ἂν τύχοι παθοῦσα κακῶν, καὶ ἀνιστορεῖ τοὺς ταῦτα πεπραχότας, εἴπου ἐντύχοι.

1200. Καμήλου μνήμη.—Ἐπὶ τῶν μνημονικωτάτων· μνημονικὴ γὰρ αὕτη.

1202. Κἂν ἀστραπὰς βροντὰς τ' ἀκούσης, νεοσσῶν σου μὴ ἀπόσχου.—Ἐπὶ τῶν τῶν οἰκείων ἀμελούντων.

1209. [φ. 37α] Κἀξ αἰγὸς στείρας γάλα οἴσει.—Ἐπὶ τῶν εὐφυῶς κερδαινόντων.

1223. Κατὰ ναῦν τὰ ἄρμενα.

1224. Κατὰ τὰ ὄρη καὶ αἱ χιόνες.—Ἐπὶ τῶν ἀναλόγως γινομένων.

1229. Κατὰ τάξιν διέρχεται τὸ θηρίκλειον.—Ὅτι καθεξῆς πάντες εὐτυχοῦσι τε καὶ ἀτυχοῦσι· θηρίκλειον δὲ τὸ ποτήριον.

1230 [φ. 37β] Κατὰ τοὺς λόγους διαθέτεις τὴν καρδίαν.—Ἤτοι καλῶς ἢ κακῶς.

1236. Κεκορεσμένος ἱερεύς, καὶ ἱέρεια ὡσαύτως.—Ἐπὶ τῶν ἀπὸ τῶν ἰδίων τὰ ἀλλότρια κρινόντων.

1245. Κεραμεὺς οὐ θέλει τίθησι τὴν λαβήν.—Ἐπὶ τῶν δυναμένων ποιεῖν ὅ τι βούλονται.

1251. [φ. 38α] Κέρδος κωνοειδές, ἡ δὲ ζημία στρογγύλη.—Ἐπὶ τῶν μεγάλην ζημίαν ὑφισταμένων, μικρὸν δὲ κέρδος εὑρισκόντων. Πέταλον γάρ τις ἵππου ἀποβαλών, προσπορευόμενος δέ, κάρφος κωνοειδὲς εὑρών, κατειρωνεύσατο τούτου, ὡσανεὶ μεγαλύνων τὸ κάρφος διὰ τοῦ κῶνον, τὸ δὲ πέταλον σμικρύνων διὰ τοῦ κυκλοτερές.

1257. Κεφαλὴν ἀνθρώπου ἐπίκαμπτε, βοὸς δὲ αἶρε.—Ἐπὶ τοῦ μὴ δεῖν διδόναι ἄδειαν καὶ ἐξουσίαν τοῖς κακοτρόποις.

1199. 1200. Βλ. καμήλα 13. Ἀμφότεραι αἱ παρ. καὶ αἱ ἑρμηνεῖαι κατὰ τὸν Ἀποστόλ 1072. 1073.

1202. Βλ. ἀστραπὴ 3. 1209. Βλ γάλα 11. βγάζω 18

1223. Βλ. κατὰ 16.

1224. Βλ. κατὰ 1. Ἡ ἑρμηνεία ἀναφέρεται καὶ εἰς τὴν προηγουμένην.

1229. Βλ. ἀράδα 6. 1230. Πρβλ. λόγος 97.

1236. Βλ. χορταίνω 25. 1245. Βλ. θέλω 112.

1251. Βλ. διάφορο 1. Χ. τὸ κυκλ. 1257. Βλ. κεφάλι 4.

НБОНУ ім. І.І. Мечникова

1271. [φ. 38 β] Κλεπτόντων μὴ κλέπτε· κηρυσσόντων δὲ θάρρει.—Ἐπὶ τῶν ἀπταίστως βιούντων.

1279. Κόκκον λίνου ὁ τρώγων, ἔδεται τὸν χιτῶνα.—Ἐπὶ τῶν τὰ ἀναγκαῖα καὶ λυσιτελῆ φθειρόντων.

1281. Κόκκυξ ἄκαιρος τοὐπίσω μὴ ᾄσάτω.—Ἐπὶ τῶν ἀλυσιτελῶν.

1282. Κολακεῖαι ἄναλτοι, κύαμοι ἕψημένοι.—Ἐπὶ τῶν ἀηδῶς ὁμιλούντων.

1283. Κολάκευσον αὐτόν, τοῦ φαγεῖν ὀστέων μέχρι.—Ὅτι μεθ' ὑποκρίσεως καὶ ὑπομονῆς ⟨δεῖ⟩ κατορθοῦν τὸ βουλόμενον.

1291. [φ. 39α]. Κόραξ κόρακος ὀφθαλμοὺς οὐκ ἐκβάλλει.—Ἐπὶ τῶν κακοτρόπων, μηδὲν ἀλλήλους βλαπτόντων.

1295. Κόρος μοι οἱ λόγοι σου, τὸ δὲ ψωμόν σου φάγε.—Ἐπὶ τῶν τοῖς λόγοις πληττόντων.

1298. Κορώνῃ πασσάλοις πολλοῖς ἐμπηδώσῃ πήγνυταί τις ἐν αὐτῇ.—Ἐπὶ τῶν ἀπὸ τόπου εἰς τόπον μεταβαινόντων.

1300. Κόσκινον καινὸν οἵ σὲ δεξιῶς κρεμάσω;—Ὅτι πάντα τὰ καινὰ τιμῶμεν.

1301. Κοσκίνῳ ἥλιον κρύπτει.—Ἐπὶ τῶν λίαν φανερῶν.

1303. Κόσμιος ὠὸν φαγών, ἤλειπτο ἐπὶ τοῦ ὤμου.—Ἐπὶ τῶν ἀκόσμων καὶ ἀνεπιτηδείων. Τὸ δὲ κόσμιος εἰρωνικόν.

1304. Κόσμος μὲν ἐχιονίζετο, γραῦς δὲ ἐξηροκτενίζετο.—Ἐπὶ τῶν ἐν καιρῷ κινδύνου ἐν ἀπρεπέσιν ἀσχολουμένων.

1309. [φ. 39 β] Κραυγὴ λαοῦ, ὀργὴ Κυρίου.

1310. Κρεῖσσον κακῶς συμβιβασθῆναι ἢ καλῶς κριθῆναι.—Τοῦτο νοεῖται διὰ τὰς πολλὰς τὰς ἐν τοῖς δικαστηρίοις συμβαινούσας ἀναλώσεις.

1324. Κύαμος ἦν καὶ ἐρράγη.—Ἐπὶ πολλῆς ὁμοιότητος.

1271. Βλ. κλέφτω 28.
1279. Βλ. τρώγω 196.
1281. Βλ. κοῦκος 3.
1282. Βλ. χάιδια 3.
1283. Βλ. παινεύω 18.
1891. Βλ. κόρακας 22.
1295. Βλ. λόγος 128.
1298. Βλ. πηδῶ 4. Χ. πήγναιται
1300 Βλ. καινούριος 8.
1301. Βλ. κρύβω 14.
1303. Βλ. ἀρίφης 1. Χ. εἴληπτο.
1304. Βλ. κόσμος 35.
1309 Βλ. λαὸς 10.
1310. Βλ. συμβιβασμὸς 3.
1324. Βλ. κουκκὶ 29.

НБ ОНУ імені І.І.Мечникова

1333. [φ. 40 α]. Κυλισθεῖσα ἡ λοπάς, εὗρε τὸ οἰκεῖον πῶμα. —Ἐπὶ τῶν τὰ λυσιτελῆ εὑρισκόντων. Λοπὰς δὲ ἡ χύτρα.

1337. Κύνες ὑλακτοῦσιν, ὁδῖται περῶσι.—Ἐπὶ τῶν τὰ τεκμήρια σαφῆ ἐχόντων ἐπί τινος.

1340. Κυνὸς ἐν μακέλλῳ ἐθισθέντος, ἢ τὸν μάκελλον ἢ τὸν κύνα ἀπολέσαιο.—Ἐπὶ τῶν κακῶς ἐθισθέντων.

1342. Κυριακὴ χαρίεσσα, δευτέρα ψιθυρίζουσα.—Ἐπὶ τῶν τοῖς μέλλουσι δυσχεραινόντων.

1343. Κυρία νύξ.—Ἐπὶ νωθρῶν καὶ ἀφώνων.

1347. Κύων ἡ σπεύδουσα τυφλὰ τίκτει.—Ὅτι ἡ σπουδὴ ⟨εἰς⟩ δεξιὸν τέλος οὐκ ἄγει.

1348. Κύων θέων ἐπὶ τὸν βεβλημένον λίθον.—Ἐπὶ τῶν ἄλλους ἀντ' ἄλλων βλαπτόντων, ὥσπερ ὁ κύων ὁρμώμενος ἐπὶ τὸν προσριπτόμενον λίθον.

1350 [φ. 40 β] Κύων προσαίνων μέν, λάθρα δὲ δάκνων.—Ἐπὶ τῶν ὑποκρινομένων εὐνοεῖν, ἐπιβουλευόντων δὲ λάθρα.

1356. Λαβὲ καὶ δὸς χαρὰ μεγίστη.—Ἐπὶ τῶν συναλλαγμάτων.

1357. Λάβε μηδέν, καὶ κράτει καλῶς.—Ἐπὶ τῶν δοκούντων μὲν μανθάνειν τι, μηδόλως δὲ ἅπτομένων.

1358. Λαβὲ τὸν φόρτον, καὶ λήψει φόρον.—Ἐπὶ τῶν ἀναιτίων.

1361. Λαγωοῦ βίον ζῇς.—Ἐπὶ τῶν ἀεὶ φοβουμένων.

1368. [φ. 41 α]. Λάκκον ἔχει τὸ ἔτνος.—Ἐπὶ τῶν ὑποπτευομένων ζητεῖν τι. Καὶ γὰρ τὸ ἔτνος λάκκον ἔχον, ἐλαίου δεῖται.

1374. Λάχανα κρεῖττον μετ' εἰρήνης ἢ μέλι μετὰ μάχης.—Ἐπὶ τῶν τὴν εἰρήνην ἀσπαζομένων.

1378. Λέγων καὶ μὴ εἰσακουόμενος, δόκει ἐν μύλῳ εἶναι.—Ἐπὶ τῶν παρηκόοις ὁμιλούντων.

1333. Βλ. βρίσκω 29.
1337 Βλ. σκύλος 83.
1340. Βλ σκύλος 93.
1342. Βλ. Κυριακὴ 7. Χ. δυσχαιρονόντων.
1343. Βλ. νύχτα 20.
1347. Βλ. σπουδάζω 8. Κατὰ τὸν Μακάριον 432.
1348. Βλ. σκύλος 73. Χειρ. δι' ἄλλους
1350. Πρβλ. σκύλος 77.
1356. Βλ. δίνω 76.
1357. Βλ. κρατῶ 11.
1358. Βλ. φόρτωμα 3.
1361. Βλ. λαγὸς 29.
1368. Βλ. λάκκος 6.
1374. Βλ. γρίνια 5.
1378 Βλ. ἀκούω 24.

НБ ОНУ імені І.І.Мечникова

1379. Λεγούσης μου, φλυαρεῖ μου ὁ ἀνήρ.—Ἐπὶ τῶν ἐμφρόνως ὁμιλούντων.

1390. [φ. 41 β] Λευκή ἐστι καὶ ἡ χιών. — Ἐπὶ τῶν εὐειδῶν μέν, βλαπτικῶν δέ.

1394. Λευκὸς κύων, μέλας κύων.—Ἐπὶ τῶν ἀδιακρίτων.

1408. [φ. 42 α] Λίθος κυλινδούμενος, τὸ φῦκος οὐ ποιεῖ. —Ἐπὶ τῶν ἀκαταστάτων, καὶ ἀρετὴν ἢ πλοῦτον μὴ κατορθούντων. Ὁ γὰρ ἐν θαλάσσῃ λίθος, ἐὰν μὴ ἀκίνητος μείνῃ, ἀδύνατον φῦκος ἐπ' αὐτῷ γενέσθαι· φῦκος δὲ χόρτος θαλάσσης.

1416. Λιπαρὰ πάντα ὡραῖα, πλούσια δὲ συνετά.—Ἐπὶ τῶν τοὺς πλουσίους σεμνυνόντων.

1420. Λόγος ἀφ' ἑνὸς ἐκρυεὶς στόματος, ἐν μυρίοις χείλεσι καταντᾷ.

1424. Λοπὰς πεπωματισμένη ἀσφαλής. — Λοπὰς δὲ ἡ χύτρα.

1435. [φ. 42 β]. Λύκον εἶδες.—Ἐπὶ τῶν αἰφνίδιον ἀχανῶν γινομένων.

1436. Λύκον ὁρῶν, ἴχνος ζητεῖς;—Ἐπὶ τῶν τὰ φανερὰ καταλιμπανόντων, τὰ δὲ ἀφανῆ ἐπιζητούντων, ὡς οἱ δειλοὶ κυνηγοί.

1439. Λύκος γηράσας, παίγνιον κυναρίοις.—Ἐπὶ τῶν ἐν γήρᾳ ἀτιμαζομένων.

1441. Λύκος κειρόμενος, ἀπίεσαν, ἔφη, τὰ πρόβατα.—Ἐπὶ τῶν ἀπὸ τοῦ κακοῦ ἀμεταβλήτων.

1446. Λύκος τοῖς μηνύμασι ἀρνίον οὐκ ἐσθίει.

1449. Λύκῳ τὴν ὄϊν.—Ἐπὶ τῶν τοῖς ἐχθροῖς συμπραγματευομένων.

1459 [φ. 43α] Μακρόθεν, ἀγρότα, τὴν κριθήν.—Ὅτι δεῖ πρὸ τοῦ παθεῖν σκοπεῖν. Ἀμελοῦντός τινος τοῦ οἰκείου ⟨ἵππου⟩, ὁ δὲ τὴν κριθὴν μὴ διδόντος ἀσθενήσας ὁ ἵππος, εἰς βόθρον ἔπεσεν· ὁ δὲ τὴν

1379. Βλ. ἄνδρας 25.
1390 Βλ. ἄσπρος 10.
1394. Βλ. ἄσπρος 21.
1408. Βλ. πέτρα 25.
1416. Βλ. πλούσιος 5.
1420. Βλ. λόγος 11.
1424. Βλ. σκεπάζω 7.
1435. Βλ. λύκος 79.
1436. Βλ. βλέπω 109.
1439. Βλ. γερνῶ 19.
1441 Βλ. λύκος 86.
1446. Βλ. μήνυμα 2.
1449. Πρβλ. λύκος 74. Χ. συμπραγματευσομένων.
1459. Βλ. μακριά 3.

НБ ОНУ імені І.Мечникова

κριθὴν δεικνύων ἐκάλει αὐτόν, μὴ δυνάμενον ἐγερθῆναι. Ἕτερος δέ τις ἰδών, ἔφη τοῦτο.

1462. [φ. 43β] Μάνδρα κενὴ πλήρης λύκων.—Ἐπὶ πόλεως ἡγεμόνων ἀμοιρούσης.

1466. Μάρτιος τεσσαρακοστῆς οὐκ ἄπεστι.—Ἐπὶ τῶν ἀπ' οὐδεμιᾶς ὑποθέσεως ἐλλειπόντων.

1475. Μεγάλως φάγε καὶ πίε, μέγα δὲ λόγον μὴ ἀπόπτυε.—Ἐπὶ τῶν τὰ μὴ συμφέροντα λεγόντων.

1482. [φ. 44α] Μεθ' ἡσυχίας ὁ ἔμφρων τὴν ἄμπελον, μετ' ἠρεμίας περκάζουσιν ὄμφακες.—Ὅτι τὰ μετὰ ἀνέσεως γινόμενα εὐδόκιμα.

1493. [φ. 44β] Μένε, γραῦ, ἐμόν σε παῖδα φιλήσοντα.—Ἐπὶ τῶν ὑπισχνουμένων ἢ ἐλπιζόντων τι ἀγαθόν· ἢ ἁπλῶς ἐπὶ τῶν βραδέως συμβαινόντων· ὡς καὶ οἱ βόες ἀναμένουσι τὴν ἀναφαινομένην ἐν ἔαρι χλόην.

1495. Μέσον μαίας καὶ μητρὸς ἀπέστη τὸ παιδίον.—Ἐπὶ κλοπῆς μεταξὺ δύο τινῶν γινομένης.

1496. Μετὰ ἀρνῶν κείρῃ.—Ἐπὶ τῶν μετὰ παίδων παιζόντων.

1502. Μεταξὺ δακτύλων πολὺ τὸ διάφορον.—Ἐπὶ τῶν διαφερόντων.

1503. Μεταξὺ σαρκὸς καὶ ὄνυχος οὐδὲν χωρεῖ.—Ἐπὶ τῶν τοῖς οἰκείοις σκάνδαλα ἐμβαλλόντων.

1504 [φ. 45α] Μετὰ οἰκείου φάγε καὶ πίε, συναλλάγματα δὲ μὴ ποίει.—Ἐπὶ οἰκείων διά τι κέρδος μαχομένων.

1509. Μὴ ἀπὸ πτωχοῦ δανείζου, ἵνα μή σου κατόπιν ἔλθῃ.—Οἱ γὰρ πτωχοὶ δι' ἔνδειαν ἀπαιτοῦσιν ἐν τάχει.

1512. Μηδ' ἀλεκτορίδας ἔχω, μηδ' ἀλώπεκι μάχην.—Ἐπὶ τῶν ἐν εἰρήνῃ βιούντων.

1462. Βλ. ἔρημος 1. 1466. Βλ. λείπω 14. Χ. μεθ' ἠρεμίας.
1475. Βλ. λόγος 87. 1482. Βλ. ἀγάλια 13.
1493. Βλ. ἀναμένω 4. Χ. ἀγαθῶν Ἡ ἑρμηνεία ἀναφέρεται καὶ εἰς τὴν προηγουμένην ἀρχαίαν παρ. «Μένε βοῦς ποτε βοτάνην».
1495. Βλ. γάνω 13. 1496. Βλ. κουρεύω 11.
1502. Βλ. ὅμοιος 1. 1503. Βλ. νύχι 2. 1504. Βλ. δικός 5.
1509. Βλ. φτωχός 55. 1512. Βλ. μαλλώνω 15. Χ. ἀλεκτρίδας.

НБ ОНУ імені І.І.Мечникова

1518. Μηδὲ τὸ κρέας, μηδ' ὀβελὸν καῆναι.—Ἐπὶ τοῦ δεῖν τὸ δίκαιον φυλάττειν.

1520. Μὴ δυνάμενος ὃ θέλεις, θέλε ὃ δύνασαι.—Ἐπὶ τοῦ δεῖν ἀρκεῖσθαι τοῖς δυνατοῖς.

1527. [φ. 45β] Μήλοις ὁ μύλος οὐ τελεῖται—Ἐπὶ τῶν πολυεξόδων.

1536. Μὴ πρόαγε τοὺς βόας· ὁ γὰρ βουκόλος οὐ θέλει.—Ἐπὶ τῶν ἀνοησίαν προσποιουμένων.

1541. [φ. 46α]. Μήτε διαβόλῳ συναντήσῃς, μήτε κόνδυλον παρέξῃς.—Ὅτι δεῖ φεύγειν τὰ κακὰ συναντήματα, κἂν μὴ βλαπτώμεθα παρ' αὐτῶν. Κόνδυλος δὲ τὸ ῥάπισμα.

1542. Μήτε κηρὸν ἁγίῳ, μήτε πέμμα παιδίῳ.—Ἐπὶ τῶν κατὰ ἀνάγκην γινομένων.

1543. Μήτε κύων ἄχυρα, μήτε ὄνον ἐᾷ.—Νόει ἐσθίει. Ἐπὶ τῶν ἄλλους κωλυόντων ἀπό τινων ἔργων, αὐτῶν δὲ μηδὲν πραττόντων.

1546. Μητέρες δύο ἥμερον ἓν θηλάζουσιν ἀρνίον.—Ὅτι οἱ ἀγαθοὶ ὑπὸ πολλῶν εὐεργετοῦνται.

1553. [φ. 46β] Μιᾶς ὥρας σύμπτωμα ὅλου ἔτους ἀποτύχημα.—Ἐνίοτε τὰ τυχηρὰ εὐδοκιμώτερα τῶν ἐξ ἐπίτηδες.

1554. Μιᾷ τομῇ ὁ δρῦς οὐ τέμνεται.—Ἐπὶ τῶν μὴ εὐχερῶς γινομένων.

1558. Μικρὸν δέλεαρ μέγαν ἰχθὺν ἐκβάλλει.—Ἐπὶ τῶν μικρόν τι δωρούντων, μέγα δὲ κερδαινόντων.

1560. Μικρὸν χωρίον, συχνὴ ἀγγαρεία.—Ἐπὶ τῶν τῶν αὐτῶν πολλάκις γινομένων.

1564. Μισθὸς ἱππηλάτην διυπνίζει.—Ἐπὶ τῶν διὰ τὰ χρήματα προθύμως ἀποτελούντων τὰ ἔργα.

1518. Βλ. καίω 41.
1520 Βλ. θέλω 64.
1527. Βλ. μύλος 24.
1536. Βλ. θέλω 122.
1541. Βλ. διάβολος 93.
1542. Βλ. τάζω 21.
1543. Βλ. τρώγω 141.
1546. Βλ. βυζαίνω 4.
1553. Πρβλ. χαρὰ 8.
1554. Βλ. ἕνας 59.
1558. Βλ. μικρὸς 36.
1560. Βλ. χωριὸ 20. Χ. ἐγκαρεία.
1564. Βλ. ἀγῶγι 2.

НВОНУ ім. І.І.Мечникова

1569. [φ. 47α] Μίτος συγκεχυμένος, κακοΰφαντος ὀθόνη. — Ἐπὶ πραγμάτων μὴ καλῶς ἀρχομένων, κακῶς δὲ ἀποβαινόντων.

1570. Μνημόσυνον ἀλλότριον ἄγεις τῷ σῷ τεκόντι. — Ἐπὶ τῶν δι' ἀλλοτρίων οἰομένων ὠφελεῖσθαι.

1592. [φ. 47β] Μῦς εἰς τρώγλην οὐ χωρῶν, κολοκύντην ἔφερεν. — Ἐπὶ τῶν μείζοσιν ἐπιχειρούντων τῆς οἰκείας δυνάμεως.

1598. Μωρόστε καὶ ἀγρότης ξένοις πάθεσι γηράσκει. — Ἐπὶ τῶν ἐν ἀλλοτρίοις ὑποθέσεσι καταγινομένων.

1599. Μωρὸς τῇ μωρίᾳ ἐμπιπλᾶται τὴν κοιλίαν. — Ἐπὶ τῶν δι' ὑποκρίσεων εὐπορούντων.

1602 [φ. 48α]. Ναῦς μεγάλη κινδύνους μεγάλους ἔχει. — Ὅτι αἱ μεγάλαι ἐγχειρήσεις μετὰ φροντίδων καὶ πόνων μεγάλων ἀποτελοῦνται.

1606. Νεανίας ὁ πηδῶν τὸν μύκητα. — Εὐφημία κατὰ ἀντίφρασιν ἐπὶ τῶν ἀνάνδρων. Μύκης δέ, τὸ κοινῶς μανιτάριον.

1617. Νέῳ πρέπει ἡ νεότης, κόσμος δὲ τῷ γέροντι. — Ἐπὶ τῶν τὰ δέοντα φυλαττόντων.

1619. Νηστείας ὄζειν. — Ἐπὶ τῶν λίαν πεινώντων.

1620. Νηστεύει τις, ψωμοῦ σπανίζων. — Ἐπὶ τῶν κατ' ἀνάγκην τι ποιούντων.

1621. Νήστης ἄρκτος οὐ χορεύει. — Ὅτι ἄνευ τῶν ἀναγκαίων οὐδὲν γίνεται.

1628 [φ. 48β] Νυκτὸς ἔργον ἡμέρας γέλως. — Ἐπὶ τῶν μὴ καλῶς γινομένων.

1629. Νύμφη μὴ ὡς οἶδες, ἀλλ' ὡς εὕρες. — Ὅτι δεῖ μεταβάλλειν κατὰ καιρὸν τὰ ἔθη.

1630. Νυμφίου βίον ζῇς. — Ἐπὶ τῶν ἑαυτοὺς κοσμούντων. Οἱ γὰρ νυμφίοι φυτοῖς τισιν ἐστέφοντο πρὸς τὰς τῶν γάμων ἡμέρας.

1569. Βλ. ἀνακατώνω 3. 1570. Βλ. ξένος 41.
1592. Βλ. χωρῶ 11. Ἐκ τοῦ Ἀποστολ. 1090. 1598. Βλ. ξένος 184.
1599. Βλ. μωρία 4. 1602. Βλ μεγάλος 35.
1606. Βλ. παλληκάρι 2. Χ. εὐφημίαν — ἀντίφασιν — 1617 Βλ. γέρος 94.
1619. Βλ. πεῖνα 4. 1620. Βλ. νηστεύω 6.
1621. Βλ. νηστικὸς 5. 1628. Βλ. νύχτα 44.
1629. Βλ. νύφη 40. 1630. Βλ. γαμπρός 22. Πρβλ. Ἀποστολ. 1115..

НБ ОНУ імені І.І.Мечникова

1636. Νὺξ τίκτει βασιλέα, ὄρθρος δὲ μητροπολίτην.— Ὅτι ἐν ὀλίγῳ καιροῦ μεταβολαὶ πολλαὶ γίνονται.

1646 [φ. 49α] Ξένος βίος εὐαρίθμητος. — Ἐπὶ τῶν περὶ τῶν ἀλλοτρίων ἀποφαινομένων.

1653. Ὁ ἀηδιζόμενος ἐμείτω.

1654. Ὁ βαρυνόμενος ἀποφορτισάσθω. — Ἐπὶ τῶν δυσαρεσκομένων.

1655. Ὁ ἀφ' ἑσπέρας βουληθεὶς ἐν στρωμνῇ διημερεύει. — Ὅτι ἡ περὶ τῶν μελλόντων βουλὴ σφαλερά.

1657. [φ. 49β] Ὁ βιαζόμενος διὰ τάχους γηράσκει. — Ὅτι δεῖ μετὰ ἀνέσεως πάντα γίγνεσθαι, ἵνα ⟨μὴ⟩ λύπας ἄγωσι.

1658. Ὁ βίος μου ἐν βίᾳ μου. — Ἐπὶ τῶν πολλὰ καταναλισκόντων ἐν καιρῷ χρείας.

1660. Ὁ γνῶσιν ἔχων ἔκειρεν, οὐ μὴν δ' ἀπέκειρε. — Ἐπὶ τῶν τὸ κέρδος μὴ προλαμβανόντων, διὸ καὶ ζημιουμένων. Ἀπέκειρε δὲ τὸ ἐκ μέρους σημαίνει.

1661. Ὁ δεσπότης ἡμῶν δεσπότην ἔχει.

1662. Ὅ δημόσιον, ἡμῖν μυστήριον. — Ἐπὶ τῶν ὃ πᾶσι δῆλον κρυπτόντων.

1663. Ὁ διάβολος πενόμενος τελώνης καθίσταται. — Ἐπὶ τῶν ἐνίων πενομένων καὶ αἰσχροῖς ἐπιχειρούντων.

1667. Ὀδύνη ἀλλοτρία ἐπιπολαίως. — Ἐπὶ τῶν μικρὸν φροντιζόντων περὶ ἀλλοτρίων ἀτυχημάτων.

1668. Ὀδύνην μου λέγων, αἰσχύνην μοι λέγω. — Ἐπὶ τῶν ἀπὸ τῶν οἰκείων βλαπτομένων, προσκλαυθῆναι δὲ θελόντων ὕβριν τε προστριβόντων τοῖς οἰκείοις καὶ ἑπομένως ἑαυτοῖς.

1636. Βλ. νύχτα 1. 1646. Βλ. ξένος 67.
1653. Βλ. ἀναγουλιάζω 1.
1654. Βλ. ξεφορτώνω 1. Ἡ ἑρμηνεία ἀναφέρεται καὶ εἰς τὴν προηγουμένην παρ.
1655. Βλ. βούλομαι 3. 1657. Βλ. βιάζομαι 4.
1658. Βλ. βίος 11. 1660. Βλ. κουρεύω 15.
1661. Βλ. ἀφέντης 19. 1662. Βλ. κρυφό 10.
1663. Βλ. φτωχαίνω 6. 1667. Βλ. ξένος 81. Χ. μικρῶν φρ.
1668. Βλ. πομπή 1.

1669. Ὁ δύνην ὁ ἔχων φέρει αὐτήν, γείτονες δὲ κοιμῶνται. — Ἐπὶ τῶν παρ' οὐδενὸς βοηθουμένων.

1670. Ὁ ἐν πρωΐ⟨ᾳ⟩ κακός, ἐν ἑσπέρᾳ χείρων. — Ἐπὶ τῶν ἀπὸ παιδιόθεν ἀδοκίμων.

1672. Ὁ ἐρωτῶν οὐκ ἀποτυγχάνει. — Ὅτι δεῖ μετὰ συμβουλῆς πάντα πράττειν.

1673. Ὁ εὑρίσκων χαίρει, ὁ δὲ γινώσκων ἔχει.

1675. Οἶδα ὃ θέλει, σῦκα θέλει. — Σικελός τις ἔμπορος σῦκα ἄγων, ἐναυάγησεν· εἶτα ἐπὶ πέτρας καθήμενος καὶ ὁρῶν τὴν [φ. 50α] θάλασσαν ἐν γαλήνῃ, ἔφη· ἐπὶ τῶν προσδοκώντων αὖθις ἐπελευσόμενον κίνδυνον.

1677. Οἶδε ποιμὴν τί φέρει πήρα. — Ὅτι ἕκαστος τὰ αὐτοῦ γινώσκει, ἄλλος δ' οὔ.

1678. Οἶδε τὸ λευκὸν καὶ τὸ μέλαν. — Ἐπὶ τῶν εἰδότων ἃ καὶ ἀμαθέσι γνώριμα.

1680. Οἱ διψῶντες σιωπῇ πίνουσιν. — Ἐπὶ τῶν μηδενὶ κοινολογούντων, ὧν αὐτοὶ ἐφίενται.

1681. Οἴκοθεν οἴκαδε. — Πηνίκα ὁ φίλος παρὰ φίλου δῶρα λαμβάνῃ.

1687. Οἶκοί τινες καίονται, οἶκοι δὲ οὐκ αἰσθάνονται. — Ἐπὶ ἐνίων βλαπτομένων, ἢ μὴ αἰσθανομένων τοῦ κοινοῦ κακοῦ.

1691. [φ. 50 β] Οἱ μὲν κομῶντες ψιλοί, οἱ δὲ ψιλοὶ κομῶσι. — Ἐπὶ πλουσίων πτωχευσάντων, καὶ πενήτων πλουτησάντων.

1692. Οἱ μὲν πολλοὶ πολλῶν, ὁ δὲ εἷς ἁπάντων. — Ἐπὶ τῶν ⟨τῶν⟩ ἀναγκαίων δεομένων.

1694. Οἶνος πωλεῖται, δέσποτα, πίνε δὲ καταβάλλων. — Ἐπὶ τῶν δυσκόλως ἀποτιόντων τὸ ὀφειλόμενον.

1669. Βλ. πόνος 19. 1670. Βλ. βράδυ 4.
1672. Βλ. ρωτῶ 28. 1673. Βλ. βρίσκω 111.
1675. Βλ θέλω 34. 1677. Βλ. ξέρω 65.
1678. Βλ. ξέρω 66. 1680. Βλ. διψῶ 3.
1681. Βλ. πλούτη 9. 1687. Βλ. σπίτι 31.
1691. Βλ. μαλλιά 27. 1692. Βλ. μοναχός 27.
1694. Βλ. ἀγοράζω 13.

НБ ОНУ імені І. Мечникова

1695. Οἳ ὁ κόσμος καὶ Κοσμᾶς. — Ἐπὶ τοῦ ἑαυτὸν συναριθμοῦντος τοῖς κοινοῖς πάθεσι.

1696. Οἰὸς λακτιζομένης χαρὰ τῷ λύκῳ. — Ἐπὶ τῶν ⟨τῶν⟩ οἰκείων ἀμελούντων.

1700. Ὁ καιρὸς πωλεῖ τὰ ξύλα ἡ δὲ στέρησις ὠνεῖται. — Ἐπὶ τοῦ δεῖν ἔπεσθαι τοῖς καιροῖς.

1702. «Ὀκνέ, κυάμους κατάβρεξον. — Εἰ φάγοις ὠμούς, οὐδέποτε ἐπιλάθοιο». — Ἐπὶ τῶν πάνυ ῥᾳθύμων.

1703. Ὀκνηρὸν ὁ ἔχων προφήτην ἔχει. — Ἐπὶ τῶν πολλὰ προφασιζομένων δι' ὀκνηρίαν.

1704. Ὀκνηρῷ ἡ ὁδοιπορία μακρὰ καὶ ὁ πόνος διπλοῦς — Ἐπὶ τῶν πολλὰ μοχθούντων, ὀλίγα ἐξόν.

1706. Ὄκνος παῖδας οὐ τίκτει, εἰ δέ γε τέξει οὐ προκόπτουσιν οὗτοι. — Ἐπὶ τῶν ὀκνηρῶς τι ποιούντων.

1707. Ὀκτὼ κερδίζει, δέκα δὲ τρώγει. — Ἐπὶ τῶν ἀφ' ὧν ἐργάζονται μηδὲν κερδαινόντων.

1713. [φ. 51α] Ὁ μὴ εἰδὼς ἄστυ, κρίβανον ἰδών, ἐθαύμασεν. — Ἐπὶ τῶν ἀνεμπείρων.

1714. Ὁ μὴ ἔχων οὗ ἔξεσθαι, καὶ ἀπὸ γυμνοῦ ξίφους ἔχεται. — Ἐπὶ τῶν τὰς ἐλπίδας ἀπορριπτόντων.

1715. Ὁ μὴ φυράσων ἀεὶ σινιάζει. — Ἐπὶ τῶν τὰς ὑπηρεσίας ἀναβαλλόντων.

1716. Ὁμιλοῦσι καὶ ζῶντες τοῖς τεθνηκόσι. — Ἐπὶ τῶν τοὺς μικροὺς ἐξευτελιζόντων.

1723. Ὃν ἀγαπᾷς ἐπίπληττε, μισεῖς δ' ὃν προσαγόρευε. — Ἐπὶ τῶν τοὺς φίλους δι' ἐπιπλήξεως διορθούντων. Ὁμοία τῇ ὁ φιλῶν με κτλ.

1695. Βλ. κόσμος 55.
1696. Βλ. προβατίνα 2.
1700. Βλ. καιρός 86.
1702. Βλ. ὀκνός 9. Ἐκ τοῦ Ἀποστολ. 1115.
1703. Βλ. ὀκνός 24.
1704. Βλ. ὀκνός 16.
1706. Βλ. ὀκνία 3.
1707. Βλ. βγάζω 6.
1713. Βλ. βλέπω 89.
1714. Βλ. πιάνω 34.
1715. Βλ. θέλω 115. Χειρ. ᾀεὶ συνιάζει.
1716. Βλ. πεθαμένος 6.
1723. Βλ. ἀγαπῶ 64.

НБ ОНУ імені І.І. Мечникова

1724. Ὃν ἂν φιλεῖς μὴ δάνειζε, ᾧ δὲ ποθεῖς μὴ σύχναζε. — Ὁ μὲν γὰρ μὴ διδοὺς λυπήσει, ὁ δ᾽ ἐμπλησθείς σου μισήσει σε.

1725. Ὄνειρον ἀνέκβατον μὴ λέγε. — Ἐπὶ τῶν οὗ ἐφίενται ἀποτυγχανόντων.

1727. Ὄνοι δύο ἐμαχέσθην ἀχυρῶνι ἀλλοτρίῳ. — Ἐπὶ τῶν ἐν ἀλλοτρίοις πράγμασι μαχομένων, καὶ ταῦτα σφετερίσασθαι οἰομένων.

1728. Ὄνομα μέν, χωρίον δ᾽ οὔ. — Ἐπὶ τῶν μὴ δεῖν τὰ κρυπτὰ δημοσιεύειν.

1729. Ὄνον κοινὸν ὁ λύκος ἔσθίει. — Ἐπὶ τῶν διὰ φιλονεικίαν τὰ οἰκεῖα μὴ προσεχόντων.

1730. Ὄνον ὁ κεντῶν ἀκουέτω αὐτοῦ καὶ τὸ βδέλος. — Ὅτι δεῖ ἕκαστον φέρειν τὰ ἀπὸ τῶν οἰκείων ἐπιχειρημάτων συμβαίνοντα.

1737. [φ. 51 β] Ὄνος ἐχαρίζετό τινι, ὁ δὲ ὥρα τοὺς ὀδόντας. — Ἐπὶ τῶν τὰ δωρούμενα ἀνακρινόντων.

1743. Ὄνος σάγην φέρει, βαίνων δὲ αὐτὴν οὐ βλέπει. — Ἐπὶ τῶν ἔγκλημά τι ἐχόντων, οὐ νοούντων δέ.

1746. Ὄνου δεδεμένου ἤρεμος ὁ δεσπότης. — Ἐπὶ τῶν τὰ οἰκεῖα ἀσφαλιζόντων.

1752. Ὃν οὐ τύπτει λόγος, οὐδὲ ῥάβδος. — Ἐπὶ τῶν μὴ πειθομένων τοῖς εἰσηγουμένοις τὰ βέλτιστα.

1753. Ὀξὺς οἶνος, σαθρὸς ἰχθύς. — Ἐπὶ τῶν μηδὲν ὑγιές ἐχόντων.

1754. Ὃ ὁρίζουσιν οἱ θέμεθλοι, προσκυνοῦσιν οἱ κέραμοι. — Ἐπὶ τῶν τοῖς κρείττοσιν ὑπεικόντων.

1759. Ὅπου εἷς πτύει, οὐδὲν τελεῖ, ὅπου δὲ πολλοὶ φρέαρ ἐκεῖ. — Ὅτι ἡ τῶν πλειόνων ψῆφος κρατεῖ.

1724. Βλ. ἀγαπῶ 63.
1725. Βλ. ὄνειρο 12.
1727. Βλ. ξένος 10.
1728. Βλ. ὄνομα 25.
1729. Βλ. ἀντάμικος 2.
1730. Βλ. γάδαρος 69.
1737. Βλ. χαρίζω 8.
1743. Βλ. σαμάρι 4. Χειρ. πάγην φέρει.
1746. Βλ. δένω 7.
1752. Βλ. ῥαβδί 4. Βλ. καὶ Ἀποστολ 1177.
1753. Βλ. ξινὸς 4.
1754. Βλ. θεμέλια 3.
1759. Βλ. πολὺς 47.

НБ ОНУ імені І.Мечникова

1760. Ὅπου ὄνος, αὐτὸς σάγη. — Ἐπί τινων μέσων, ὧν ἄνευ οὐ δύναταί τις ἐνεργῆσαι.

1761. Ὅπου πολλοὶ ἀλέκτορες ᾄδουσι, χρόνιος ὁ ὄρθρος. — Ἡ ἀπὸ πολλῶν καὶ ἀμαθῶν γινομένη βουλὴ ἀλυσιτελής.

1764. Ὅρα τὸν ὑγιῆ ὀδόντα. — Ὅτι δεῖ μετὰ προσοχῆς ὁτιοῦν πράττειν. Θέλων γάρ τις ὀδόντα ἐκβαλεῖν σεσηπότα, τὸν ὑγιῆ δι' ἀπροσεξίαν ἐξέβαλε.

1767. Ὄρνιν ἔχων ἐν χερσί σου πετασθῆναι μὴ συγχώρει. — Ὅτι δεῖ τηρεῖν τὰ ἐν χερσίν.

1768. Ὄρνις ἀπιὼν οὐκ ἐπάνεισιν.

1769. Ὁ σῖτος τέως ἐν τῷ μύλῳ καταντᾷ.

1770. Ὅ ὗσε, κατῆλθε. — Ἐπὶ τῶν ἄλλως μὴ ἐνδεχομένων γενέσθαι.

1771. Ὄρος ὄρει οὐ μίγνυται. — Ἐπὶ τῶν ἀσυμπαθῶς πρός τινα διακειμένων.

1774 [φ. 52 β] Ὅσα ὗει οὐρανός, γῆ πάντα πίνει — Ὅτι τὰ ἐκ Θεοῦ ἐκδέχεσθαι χρή.

1776. Ὅσα φάγωσι μάντεις, ἄλλα δὲ γητευταί. — Ἐπὶ τῶν τὰ οἰκεῖα ἀσώτως διαφθειρόντων.

1782. Ὁ τιμῶν, ἑαυτὸν τιμᾶ.

1783. Ὁ τοῦ ὄνου καταγελῶν ἐπιβαίνει αὐτοῦ. — Ἐπὶ τῶν ὧν ἄλλων καταγελώντων αὐτῶν πασχόντων.

1785. Ὁ τῷ ζέοντι καεὶς ἐμφυσᾷ καὶ τὸ ψυχρόν. — Ἐπὶ τῶν ἐξ ὧν ἔπαθον σωφρονισθέντων, διὸ καὶ τὰ μὴ τοιαῦτα φυλαττομένων.

1786. Οὐαὶ τῇ κεφαλῇ τῇ γεννώσῃ τοὺς φθεῖρας. — Ἐπὶ τῶν ὀκνηρῶν καὶ μηδὲν εὐδόκιμον ἐχόντων.

1760. Βλ. γάδαρος 73. 1761. Βλ. πολὺς 38.
1764. Βλ. δόντι 12. 1767. Βλ. κρατῶ 1.
1768. Βλ. πετῶ 11. 1769. Βλ. μύλος 56.
1770. Βλ. βρέχω 41. Ἡ ἑρμηνεία κοινὴ καὶ εἰς τὰς προηγουμένας δύο.
1771. Βλ. βουνὸ 5. ὄρος 1. Ἡ τε παρ. καὶ ἡ ἑρμηνεία ἐκ τοῦ Ἀποστ. 1302.
1774. Βλ. γῆ 12. Χειρ. οὐρανός, γίνει πάντα π.
1776. Βλ. τρώγω 213. Χ. γυτευταί. 1782. Βλ. τιμῶ 8
1783. Βλ. ἀναγελῶ 5. 1785. Βλ. καίω 49. 1786. Βλ. ἔχω 8.

НБ ОНУ імені І.І.Мечникова

1787. Οὐαὶ τοῖς τυπτομένοις ὅσον τοὺς κριτὰς ἐλθεῖν.— Ἐπὶ τῶν βοήθειάν τινα ἐλπιζόντων, πρὸ ταύτης δὲ κακόν τι ὑφισταμένων.

1788 [φ.53α] Οὐαὶ τῷ μὴ τοῖς ἰδίοις ὄνυξι ξυομένῳ. — Ὅτι ἡ παρ' ἑαυτῶν εἰς ἑαυτοὺς βοήθεια κρείττων τοῖς ἀφ' ἑτέρων.

1789. Οὐαὶ τῷ νυκτὸς καταληφθέντι, καὶ τοῦ ἄρτου στερηθέντι.—Ἐπὶ τῶν δυσχερέσι περιστάσεσι πιπτόντων.

1794. Οὐ γὰρ πτηνὰ ἐδώδιμα πάντα. — Ἐπὶ τῶν μὴ δυναμένων τὰ πάντα κατορθῶσαι, ὅσοις ἐπιχειροῦσι.

1798. Οὐδ' ἀπὸ Πρόκου προκοπή, οὐδ' ἀπὸ Ῥίζου ῥίζα.— Ἐπὶ τῶν ἀναξίων καὶ μηδὲν λυσιτελούντων. Πρόκος δὲ καὶ Ῥίζος ὀνόματα κύρια.

1829. [φ. 54β] Οὐδὲ ὑγιᾶ στρωμνή, οὐδὲ τράπεζα νοσοῦντα.—Νόει τὸ δέχεται ἐπὶ τῶν ἐπί τι προσποιουμένων.

1855. [φ. 55α] Οὐκ οἶδεν ἀγρότης πολυτέλειαν ἐδεσμάτων. — Ἐπὶ τῶν πεῖραν μηδενὸς ἐχόντων.

1876. [φ. 55β] Οὗτο οὖρον καθαρόν, ἀποκρίνει τὸν ἰατρόν.

1877. Οὗτος ὁ καθήμενος ἱσταμένῳ ἔοικεν. — Ἐπὶ τῶν σπουδαίων καὶ μὴ βουλομένων ἀμερίμνως καθῆσθαι.

1879. [φ. 56α] Οὐ φθέγξῃ, λύκον εἶδες. — Ἐπὶ τῶν διά τινα ὀπτασίαν ἀφώνων.

1886. Οὐκ ὠόν, ἀλλὰ ταὐτόν.— Ἐπὶ τῶν ταὐτολογούντων.

1887. Ὁ φαγὼν οἶδεν, ὁ δὲ ἔχων ὁρᾷ. — Ἐπὶ τῶν πεῖραν ἐχόντων τινῶν.

1889. Ὀφειλέτης ὁ κακὸς οὐδ' ἀναίνεται, οὐδ' ἀποτίει.— Ἐπὶ τῶν τοῖς λόγοις πειρωμένων θεραπεῦσαι τοὺς δανειστάς.

1787. Βλ. δέρνω 1. 1788. Βλ. ξύνω 1.
1789. Βλ. νύχτα 2. 1794. Βλ. τρωγόσιμος 1.
1798. Βλ. προκοπή 2. 1829. Βλ. γερὸς 4.
1855 Βλ. ξέρω 60. 62.
1876. Βλ. οὖρον 1. Ἐκ τοῦ Ἀποστολ. 1225.
1877. Βλ. κάθομαι 50. 3. Πρβλ. καὶ 20. Ἡ τε παρ καὶ ἡ ἑρμηνεία ἐκ τοῦ Ἀποστολ. 1233.
1879. Βλ. λύκος. 79. 1886. Βλ. ὄχι 2.
1887. Βλ. τρώγω 206. 1889. Βλ. χρεωφειλέτης 11.

НБ ОНУ імені І.І.Мечникова

1890. Ὀφθαλμοὶ εὐτυχεῖς, χεῖρες δὲ δυστυχεῖς.—Ἐπὶ τῶν εὐειδῶν μέν, δυστυχῶν δέ.

1891. Ὀφθαλμοὶ μὴ βλεπόμενοι λήθης ἀμπίσχονται.—Ἐπὶ τῶν τῶν φίλων ἐπιλανθανομένων.

1894. Ὃ φιλῶν με κλαίειν ποιεῖ, γελᾶν δ' ὁ μισῶν.—Ἐπὶ τῶν τοὺς φίλους δι' ἐπιπλήξεως διορθούντων.

1895. Ὅφις ἢν μὴ φάγῃ ὄφιν, δράκων οὐ γενήσεται.—Ἐπὶ δυναστῶν καὶ τυράννων [φ. 56 β] ταῖς ⟨οὐσίαις⟩ τῶν ἀλλοτρίων δι' ἁρπαγῆς αὐξομένων.

1903. Παῖδες μῆλα τρώγουσι, γέροντες δὲ ναρκῶσιν.—Ἐπὶ τῶν διὰ τοὺς παῖδας κολαζομένων.

1904. Παιδὶ μὴ κλαίοντι μαστὸν οὐ δίδωσιν.—Ὅτι δεῖ αἰτεῖν τὰ ἐλλείποντα.

1905. Παίων μὲν τὸν καλὸν βελτιώσεις, παίων δὲ τὸν κακὸν ἀχρειώσεις.—Ὅτι διὰ τῆς αὐτῆς παιδείας, ὁ μὲν κρείττων· ὁ δὲ χείρων καθίσταται.

1915. [φ. 57α] Πᾶν πρόβατον ἀπὸ τοῦ ἰδίου κρέμαται ποδός.—Ἐπὶ τῶν καλόν τι ἢ κακὸν μόνων ὑφισταμένων.

1918. Πάντα ἐκφαγὼν τὸν βοῦν, εἰς τὴν οὐρὰν ἀπέκαμε,—Ἐπὶ τῶν δι' ὅλου τοῦ ἔργου προθυμουμένων, πρὸς δὲ τῷ τέλει ῥᾳθυμούντων.

1925. Πάντας τοὺς ἀδοκίμους ἄρτους ἡ νύμφη ἐργάζεται.—Ἐπὶ τῶν ἄλλοις τὰ οἰκεῖα πταίσματα ἀπορριπτόντων.

1928. Πάντες περῶσιν, ἐγὼ δὲ διέρχομαι.—Ἐπὶ τῶν ὁμοίως τοῖς πᾶσι διακειμένων.

1949 [φ. 58α] Πάσχα καλογήρου, κύαμοι ἕψημένοι.—Ἐπὶ τῶν ἀπὸ τῶν οἰκείων ἐθῶν μὴ μεταβαλλομένων.

1953. Παχείας εὐποροῦμεν ἀναξυρίδος.—Ἐπὶ τῶν παρὰ τὸ δέον γινομένων· ἀναξυρὶς δὲ τὸ κοινῶς βρακίον.

1890. Βλ. μάτι 60. 1891. Βλ. μάτι 71. 1894. Βλ. κλαίω 45.
1895. Βλ. τρώγω 238. Ἐκ τοῦ Ἀποστολ. 1279. 1903. Βλ. τρώγω 264.
1904. Βλ. κλαίω 61. 1905. Βλ. δέρνω 9. 1915. Βλ. κρεμῶ 13.
1918. Βλ. τρώγω 239. Βλ. Ἀποστόλ. 1297. 1286α. 1925. Βλ. στραβός 31.
1928. Βλ. περνῶ 21. Χ. Πάντεσι. 1949 Βλ. πασχάζω 1.
1953. Βλ. ἔχω 93.

НБ ОНУ імені І.І.Мечникова

1964. [φ. 58 β] Πενία τέχνας ἐργάζεται. — Ἐπὶ τῶν ὑπὸ τῆς ἐνδείας πολλὰ μηχανωμένων.

1973. Περίφραγμα μὲν παλαιὸν σήπεται, χρέος δ' οὔ. — Ὅτι ἄφευκτον τὸ χρέος.

1976. Πέτραν ἀφρόνου ἐν ὕδατι βαλόντος, μύριοι φρόνιμοι ἐκβαλεῖν ἀδυνατοῦσιν. — Ὅτι εὐχερὲς μὲν τὸ κακόν, δυσίατον δέ.

1981 [φ. 59 α] Πηλὸς ἢν μὴ δαρῇ, κέραμος οὐ γίνεται. — Ἐπὶ τῶν ἄνευ πόνου μὴ δυναμένων εἰς τελείαν ἀρετὴν ἀφικέσθαι.

1984. Πῇ πορεύοι κακὴ τύχη; ἐν οἰκίᾳ πολυτέχνου. — Ἐπὶ τῶν πολλοῖς ἐπιχειρούντων, ὀλίγα δὲ κερδαινόντων.

1986. Πικρὰ κολοκυνθὶς σπέρμα μὴ λιπέτω. — Ὅτι οὐ δεῖ ζῆν τὰ τῶν κακῶν τέκνα.

1988. Πίσσα ναυπηγῶν κακ' ἐλέγχεα πάντα καλύπτει. — Ἐπὶ τῶν πλαστὸν βίον χρωμένων καὶ μὴ ἐλεγχομένων.

1990. Πλακοῦς καθαρός. — Εἰρωνικῶς ἐπὶ τῶν ὑπόπτων.

1991. Πλακοῦς οὗτος καὶ κρητὴρ ὅλον μ' ἐτέλεσε γυμνόν. — Ἐπὶ τῶν διὰ τρυφὴν πενομένων.

1996. [59 β] Πλείω τὰ ἄδικα τῶν δικαίων. — Ἐπὶ τῶν συκοφαντουμένων.

2000. Ποδὸς καθέδρας πεσόντος, πύξινος ἄλλος. — Ἐπὶ τινων μεθισταμένων, κρειττόνων δ' ἀντικαθισταμένων.

2001. Πόθεν οὗτος ὁ ἀκρέμων; ἀπὸ τούτου τοῦ δρυός. — Ἐπὶ τῶν τοὺς οἰκείους μιμουμένων γονεῖς.

2002. «Ποῖ γῆς, αἶξ; — Εἰς Πόλιν, ἔφη. — Καὶ πρόσω ἴθι ἡμῶν ἐώντων». — Ἐπὶ τῶν τοὺς ἄλλους βιαίως κωλυόντων.

2003. Ποίει καλὸν καὶ ἐν ὕδατι ῥίπτε. — Ἐπὶ τοῦ δεῖν καὶ τοὺς ἀχαρίστους εὐεργετεῖν.

1964. Βλ. φτώχεια 27.
1973. Βλ. χρέος 12.
1976. Βλ. μωρὸς 163.
1981. Βλ. δέρνω 25.
1984. Βλ. πολυτεχνίτης 8. Χ. ἐν ἀνίᾳ π.
1986. Βλ. κολοκύθα 4.
1988. Βλ. πίσσα 1.
1990 Βλ. καθαρὸς 12.
1991. Βλ. πίττα 38.
1996. Βλ. ἄδικο 6
2000. Βλ. σκαμνὶ 3.
2001. Βλ. κλωνάρι 2. Χ μιμουμένους.
2002. Βλ. πηγαίνω 59.
2003. Βλ. καλὸ 19.

НБ ОНУ імені І.І.Мечникова

2004. Ποίησόν με προνοεῖν, καὶ ποιήσω σε πλουτεῖν — Ἐπὶ τῶν μὴ ἐνδεχομένων γενέσθαι.

2008. Ποιμὴν ἄρχων γενόμενος, προβατείου ὀσμῆς ὄζει. — Ἐπὶ τῶν παρ' ἀξίαν τιμωμένων.

2009. Ποιμήν ἐστι, τυρὸν φέρει, ἀλλ' οὐκ εἶδε δι' ἔτους. — Ἐπὶ τῶν εὐπορεῖν ὑποπτευομένων, ἀτυχούντων δέ.

2030. [φ. 60β] Πολλοὶ τεθνηκότες ἐπὶ προσκεφαλῆς ἀρρώστου. — Ὅτι πολλοὶ ὑγιαίνοντες προαποθνήσκουσι τῶν νοσούντων.

2050. Πρὸ ποταμῶν ἀναστέλλει τὰ ἱμάτια. — Ἐπὶ τῶν τοὺς καιροὺς προλαμβανόντων.

2054. Πρόβατα ὁ ἔχων ἔχει αὐτά, ὁ δὲ βόσκων ἐσθίει. — Ἐπὶ τῶν περιουσίαν ἄλλων καταναλισκόντων.

2056. Προβάτοις μὲν λύκον, ἀμπέλοις δὲ κύνα. — Ἐπὶ τῶν κακοὺς ἐπιστάτας τοῖς πράγμασι τιθεμένων.

2058. Πρόβατον ὑστεροῦν ποίμνης θήραμα λύκου. — Ἐπὶ τῶν ἀπὸ τῆς κοινότητος σχιζομένων.

2067. [φ. 61β] Πρὸς δύο τέμνε φίλε τὴν ἐλαίαν. — Ἐπὶ τῶν κατὰ κόρων ἐσθιόντων τι.

2070. Προσκυνοῦσαν κεφαλὴν οὐ τέμνουσιν. — Ἐπὶ τῶν εὐπειθῶν.

2081. [φ. 62 α] Πρωκτὸν μικρὸν οὐκ ἔτυψας, μέγαν μὴ ἀπείλει. — Ὅτι παιδιόθεν δεῖ παιδεύειν τὰ τέκνα.

2087. Πτωχὸς μὲν ὃ δύναται, πλούσιος δ' ὃ βούλεται. — Ὅτι τῷ πλουσίῳ πάντα εὐχερῆ.

2090. Πτωχοῦ πλουτοῦντος ὁ θάνατος πάρεισι. — Ὅτι ἄστατος ἡ παροῦσα ζωή.

2093. Πυγμῇ μάχαιραν παίεις. — Ἐπὶ τῶν μεγίστην ὑφισταμένων ζημίαν, μὴ δυναμένων δέ τι ποιῆσαι.

2004. Βλ. προφήτης 6. 2008. Βλ. βλάχος 12.
2009. Βλ. βλάχος 3. Χειρ. οἶδε δι' ἔ 2030. Βλ. ἄρρωστος 9.
2050. Βλ. πρὶν 17. Ἡ ἑρμηνεία ἀναφέρεται καὶ εἰς τρεῖς ὁμοίας ἀρχαίας παρ.
2054. Βλ. ἔχω 131. 2056. Βλ. λύκος 6.
2058. Βλ. πρόβατο 13. ?067 Βλ. ἐλιὰ 11.
2070. Βλ. κεφάλι 46. 2081. Βλ. μικρὸς 17.
?087. Βλ φτωχὸς 154. 2090. Βλ. φτωχὸς 100. 2093. Βλ. γροθιὰ 3.

НБ ОНУ імені І.І. Мечникова

2100. [φ. 62β] Πῦρ ἐγγὺς καλάμης οὐκ ἀσφαλές. — Ἐπὶ τοῦ μὴ δεῖν τοὺς νέους γυναιξὶ συνοικεῖν.

2108. Πωλοῦντός μου οὐκ ἠγόραζες. — Ἐπὶ τῶν παρὰ καιρὸν ἐρωτώντων.

2122. [φ. 63α] Σάββατον κυριακὴ γειτνιῶσα ἑορτή. — Ἐπὶ τοῦ μετ' ὀλίγον γενησομένου.

2131. [φ. 63β] Σεμνείου καλῶς σχόντος, καλόγηροι πλεῖστοι. — Ἐπὶ τῶν ἀπὸ δεσποτῶν διδρασκόντων· σεμνεῖον δὲ τὸ μοναστήριον.

2132. Σήμερον ἐπορεύθη, αὔριον δὲ πόσας ἔχεις; — Ἐπὶ τῶν τινος ἔργου ἀρχομένων, εὐθὺς δὲ περὶ τοῦ τέλους σκοπούντων.

2137. Σίτου σπαρέντος κριθὴ ἔφυ. — Ἐπὶ τῶν καλῶς λεγόντων, τῶν δὲ λόγων κακῶς ἐκβαινόντων.

2152 [φ. 64 α]. Σοὶ λέγω, πενθερά, ἡ δὲ νύμφη ἀκουέτω. — Ἐπὶ τῶν δι' ἄλλων προσώπων ἄλλους νουθετούντων.

2153. Σοῦ ἀπιόντος, ἐγὼ ἐπανῆλθον. — Ἐπὶ τῶν προπεπαιδευμένων.

2159. [φ. 64β] «Στάζει σου ἡ ῥίς, γαμβρέ. — Ἀπὸ τοῦ χειμῶνος, ἔφη. — Οἶδά σε καὶ τοῦ θέρους». — Ἐπὶ τῶν ἀνεπιτηδείων καὶ αἰσχρῶς βιούντων.

2161. Στεῖρον ἀγρὸν μὴ σπείρειν. — Αἰνιγματωδῶς τοὺς ἀρσενοκοίτας ἐλέγχει· δύναται μέντοι καὶ ἀντὶ τοῦ μὴ δίδασκε τοὺς ἀπαιδεύτους.

2162. Στεναγμῷ δειπνεῖν, κλαυθμῷ ἀριστᾶν. — Ἐπὶ τῶν τινὶ ἀρωμένων.

2180. [φ. 65 α]. Σὺ μὲν κακὰ δράγματα, ὁ δὲ κακὰς ἀμάλλας. — Ἐπὶ τῶν μηδὲν τελεσφορούντων.

2185. Συντείνει σοι ὁ τόπος καὶ φαίνῃ ἀνδρεῖος. — Ὁμοίᾳ τῇ Γαλῇ γραΐ.

2100. Βλ. φωτιὰ 10. 2108. Βλ. ἀγοράζω 18.
2122. Βλ. κυριακὴ 15. 2131. Βλ. μοναστῆρι 6.
2132. Βλ. σήμερα 8. 2137. Βλ. σπέρνω 11.
2152. Βλ. λέγω 41. 2153. Βλ. γυρίζω 14.
2159. Βλ. ξέρω 100. 2161. Βλ. σπέρνω 31.
2162. Βλ. ἀναστενάζω 1. 2180 Βλ. κακὸς 24. 2185. Βλ. ἀνδρειωμένος 3.

НБ ОНУ імені І.І.Мечникова

2187. [φ. 65 β]. Σύντομος ψαλμὸς ἀλληλούια. — Ἐπὶ τῶν συντόμως ἀποφαινομένων.

2198. [φ. 66 α] Τὰ ἐν χερσὶ κρατούμενα μείζονά ἐστι τῶν προσδοκωμένων.

2204. Ταμίας φειδωλός, ἄριστος οἰκονόμος. — Ἐπὶ τῶν μετὰ φειδοῦς οἰκονομούντων.

2224. [φ. 67 α] Τέθνηκεν ἡ πενθερά μου, ἐπλατύνθη μου γωνία. — Ἐπὶ τῶν ἀπό τινος φευκτοῦ ἀπαλλαττομένων.

2241 [φ. 67 β] Τῇ ἐφέσει τοῦ βοὸς λείχει λύκος τὸν ζυγόν. — Ἐπὶ τῶν δι' ἄλλο τι κολακευόντων τινά.

2255. [φ. 68 α] Τὴν οἰκίαν αὐτοῦ ὁ μὴ ἐπαινῶν καλυπτέσθω ὑπ' αὐτῆς. — Ἐπὶ τῶν τὰ οἰκεῖα ἀποσεμνυνόντων.

2261. Τῆς καλῆς ὀπώρας ἡ ὗς ἀπολαύει. — Ἐπὶ μοχθηρῶν εὐπορούντων.

2265. [φ. 68 β] Τί εἰ οὐρανὸς ἐμπέσῃ; — Ἐπὶ τῶν ἐν ἀσφαλεστάτοις πράγμασι γελοιωδῶς δειλιώντων.

2274. [φ. 69 α] Τίνι διδοῦσι καὶ οὐ λαμβάνει; τίνα δέρουσι καὶ οὐ φεύγει; — Ἐπὶ τῶν τὰ συμφέροντα δεχομένων.

2275. Τίνι τυφλῷ μισητὴ ὄψις; — Ὅτι πάντες τὴν εὐτυχίαν στέργουσιν.

2280. Τίς ἐν χερσὶ μέλι ἔχων, οὐ λείχει τὰ δάκτυλα; — Ἐπὶ τῶν ὧν ἔχουσι ἀπολαμβανόντων.

2282. Τί σοι λέγω, τί μοι λέγεις; — Ἐπὶ τῶν μὴ ὁμονοούντων· καὶ ἐπὶ τῶν ταὐτὰ λεγόντων.

2294. [φ. 69 β] Τὸ εὔωνον κρέας οἱ κύνες ἐσθίουσιν. — Ἐπὶ τῶν τὰ εὐτελῆ ὄψα διὰ φειδωλίαν ὠνουμένων.

2295. Τὸ ἴδιον ἑκάστῳ ὡραῖον. — Ἐπὶ τῶν φιλαύτων.

2187. Βλ. κοντὸς 17. 2198. Βλ. χέρι 79. Ἐκ τοῦ Ἀποστ. 1506.
2204. Βλ. ἀκριβὸς 9. 2224. Βλ. πεθαίνω 6.
2241. Βλ. πόνος 2. Χειρ. τὴν συγόν. 2255. Βλ. παινεύω 8.
2261. Βλ. τρώγω 275. 2265. Βλ. οὐρανὸς 2.
2274. Βλ. δίνω 97. 2275 Βλ. θέλω 117.
2280. Βλ. μέλι 51. 2282. Βλ. λέγω 174.
2294. Βλ. φτηνὸς 7. 2295. Βλ. δικός μου 35.

НБ ОНУ імені І.Мечникова

2296. Τοιούτῳ ξύλῳ ἐντυχών, ἐνταυθὶ διημερεύσει.— Ἐπὶ τῶν εἰς κίνδυνον πιπτόντων· πτηνόν τι ἐν παγίδι ληφθέν, ἔφη.

2298. Τοῖς κακοῖς πάντες χρεῶσται. — Πάντες γὰρ ἀδικοῦσι.

2299. Τοῖς κακοῖς τρὶς κακά. — Ὅτι τοῖς κακοῖς πολλὰ τὰ ἐπακολουθοῦντα κακά.

2303. Τοῖχος ὠτία, πεδίον ὄμματα ἔχει. — Ἐπὶ τοῦ μὴ δεῖν τὰ κρύφια ἐκφαίνειν.

2308 [φ. 70 α] Τὸ κρέας αὐτῶν, οὐ βράσσει μιᾷ χύτρᾳ. — Ἐπὶ τῶν ἀσυμφώνων.

2309. Τὸ κρέας μετὰ τῶν ὀστέων πωλεῖται. — Ἐπὶ τῶν τὰ καλὰ ὤνια ἐκλεγόντων.

2310 Τὸ κρυπτὸν ἄκρυπτον. — Ὅτι οὐδὲν κρυπτόν, ὃ μὴ φανερωθήσεται.

2313. Τὸ μὲν ὕδωρ ἠρεμεῖ, οἱ δὲ ἐχθροὶ οὐδόλως. — Ἐπὶ τῶν ἀεὶ ἐπιβουλευόντων.

2325. [φ. 70 β] Τὸν τόκον καὶ τὸ κεφάλαιον ἐκτίνειν. — Ἐπὶ τῶν βραδέως μὲν κολαζομένων ἢ κολαζόντων, βαρέως δέ.

2329 Τὸ πολλάκις παίζειν ἄγει τὸ πολλάκις παίειν. — Τῷ γὰρ πολλάκις ἀτακτοῦντι ἕπεται τὸ τύπτεσθαι πολλάκις.

2330. Τὸ πολὺ κύρι' ἐλέησον καὶ ἁγίοις φορτικόν. — Ἐπὶ τῶν κατακόρως γινομένων.

2332. Τὸ σκαμβὸν ξύλον οὐδέποτε ὀρθόν. — Ἐπὶ τῶν ἀδιορθώτων.

2333. Τὸ σκαμβὸν ξύλον τὸ πῦρ ἰθύνει. — Ἐπὶ τῶν διὰ παιδείας διορθουμένων.

2335. Τοσοῦτον γραῦς τῷ βεβρεγμένῳ, ὅσον καὶ τῷ βεβαμένῳ. — Ἐπὶ τῶν ἀδιαφόρων.

2296. Βλ. ξύλο 30. 2298. Βλ. κακὸς 43.
2299. Βλ. κακὸς 44. Βλ. Ἀποστολ. 1589. 2303 Βλ. αὐτὶ 36.
2308. Βλ. βράζω 11. 2309. Βλ. κόκκαλο 13.
2310. Βλ. κρυφὸ 15α. 2313. Βλ. ἐχτρὸς 14.
2325. Βλ. διάφορο 2. 2329. Βλ. παίζω 30.
2330. Βλ. πολὺς 82. Χειρ. φορτοτικόν.
2332. Βλ. σκαμβὸς 1. Ἐκ τοῦ Ἀποστολ. 1585. Βλ. καὶ Μακάρ. 669.
2333. Βλ. στραβὸς 91. 2335. Βλ. γριὰ 101.

НБ ОНУ імені І.І. Мечникова

2338. Τὸ ταχὺ καὶ χάριν ἔχει. — Ἐπὶ τῶν διὰ τάχους γινομένων.

2340 [Φ. 71α] Τὸ τετυγμένον οὐκ ἄτυκτον. — Ἐπὶ τῶν μὴ ἄλλως ἐνδεχομένων γενέσθαι. Ὁμοία τῇ, ὄρνις ἀπιὼν.

2345. Τοῦ πατρὸς ἐστὶ τὸ παιδίον. — Ἐπὶ τῶν ἀπὸ τῶν πατρῴων ἐπιτηδευμάτων γνωριζομένων.

2346. Τὸ ὑπόδημα πρὸς τὸν πόδα, οὐ τὸν πόδα πρὸς τὸ ὑπόδημα προσαρμόζειν δεῖ. — Ἐπὶ τῶν παραλόγως τι ποιούντων.

2359 [φ. 71β] Τρέχε λίπος στέατι. — Ἐπὶ τῶν κέρδος τι ἐπὶ κέρδει λαμβανόντων.

2366. [φ. 72α] Τρίχα σχίζει, καὶ χαλινὸν ἐντίθησι ψύλλῃ. — Ἐπὶ τοῦ ἀγχίνου καὶ λίαν ἐπιτηδείου.

2368. Τροχάλοις ἅπαντες, σὺ δὲ λίθοις. — Ἐπὶ τῶν ὑπὸ πάντων πολεμουμένων.

2369. Τυρὸς καλὸς ἐν κυνέῃ. — Ἐπὶ τῶν χάριν τινα ἐχόντων, γνώμην δὲ κακήν.

2372. Τυφλοῦ βελόνην ἐν ἀχυρῶνι ζητοῦντος, κωφός τις ἔφη, οὐκ ἀκούει τοῦ κτύπου.

2376. Τῷ καλῶς ἀποδιδόντι ἕκαστος καλῶς δανείζει.

2377. Τῷ κυνὶ τὰ πίτυρα φυρῶσιν. — Ἐπὶ τῶν ματαίως τι ἐλπιζόντων.

2378. Τῷ μὲν στόματι λόγον, ταῖς δὲ χερσὶ νάρκην ἔχε. — Ἐπὶ τῶν ταῖς χερσὶ ἀκρατῶν.

2381. Τῶν ποδῶν ὁ φειδόμενος ἀποστερεῖ τὴν κοιλίαν αὐτοῦ. — Ἐπὶ τῶν δι' ὀκνηρίαν πτωχευόντων.

2383. [φ. 72 β] Τῷ πολλά σοι κλάσματα ἐπαγγέλλοντι ἄρτων μικρὰν ἑτοίμαζε πήραν. — Ὅτι οὐ δεῖ πιστεύειν τοῖς πολλὰ ὑπισχνουμένοις.

2338. Βλ. γοργὸς 1. Πρβλ. Αἰσώπου κωμῳδ. 20. 2340. Βλ. γίνομαι 25
2345. Βλ. πατέρας 13. 14 (Ἀποστολ. 1579). 2346. Βλ. ποδι 32.
2359. Βλ. παστὸ 5. 2366. Βλ. τρίχα 24. Χειρ. ἐκτίθησι ψύλλῃ.
2368. Βλ. ὅλος 10. Χειρ. οὐδὲ λίθοις. 2369. Βλ. σκύλινος 3.
2372. Βλ. τυφλὸς 18. 2376. Βλ. δανείζομαι 15.
2377. Βλ. ἀναδεύω 1. 2378. Βλ. χέρι 34.
2381. Βλ. πόδι 16. 27. 2383. Βλ. τάζω 24 α.

НБ ОНУ імені І.І.Мечникова

2385. Τῷ τὰ οἰκεῖα φυλάττοντι ἱμάτια, πάρεισι τὰ ἡμίση. — Ἐπὶ τῶν οἰκείων ἐπιμελουμένων.

2386. Τῷ φρονίμῳ σήμαινε· τῷ δ' ἀγροίκῳ σύριττε. — Ἐπὶ τῶν εὐκόλως νοούντων καὶ μή.

2387. Ὕβρις ἔρωτας ἔλυσεν. — Ἐπὶ τῶν διὰ τὰς ὕβρεις τὴν φιλίαν διαλυόντων.

2391. Ὕδατος κοπέντος ἠρεμεῖ ὁ μύλος.

2392. Ὕδατος χωρὶς ὁ μῦλος οὐκ ἀλέθει. — Ἐπὶ τῶν δι' ἔλλειψιν ἀναγκαίων μηδὲν τελούντων.

2395. Ὑδρία πολλάκις εἰς φρέαρ ἀπιοῦσα, ἐσθ' ὅτε οὐκ ἐπάνεισι. — Ἐπὶ τῶν μὴ ἀεὶ εὐτυχούντων.

2398. Ὕδωρ ἐνταὐτῷ διαμένον ὄζει. — Ἐπὶ τῶν διὰ πολυκαιρίαν ἀτιμαζομένων.

2419. [φ. 73 β] Ὑπόδημα ἐγχώριον, ἔστω καὶ πεπαλαιωμένον. — Ἐπὶ τῶν τοῖς ἰδίοις ἀρεσκομένων καὶ εὐτελέσιν οὖσιν.

2421. Ὑπὸ θεοῦ ἐστὶ καὶ τὸ βίαιον. — Ὅτι πολλάκις λυσιτελεῖ καὶ τὸ βίαιον.

2423. Ὑπόσχεσις μακρά, πρᾶξις δὲ σμικρά. — Ὁμοία τῇ, χρυσᾶ ὄρη.

2424. Ὑπὸ τὸν δάκτυλον αὐτοῦ ὁ κρυπτόμενος, ἅπας δῆλος. — Ἐπὶ τῶν λίαν φανερῶν.

2426. Ὑς ἐν σάκκῳ. — Ἐπὶ ἀδήλων συναλλαγμάτων.

2428. Ὑφορᾷ με ὡς ὁ λύκος τὴν σελήνην. — Διὰ τὸ φαίνειν καὶ μὴ συγχωρεῖν αὐτῷ ἁρπάζειν τὰ πρόβατα.

2429. Φακῇ ἐγκέχυται τοὔλαιον. — Ἐπὶ τῶν ἐπὶ μικραῖς ζημίαις εἰρωνευομένων.

2430. Φακὴ πιεζομένη ἔψεται. — Ἐπὶ τῶν βιαίως τι ποιούντων.

2385. Βλ. φυλάγω 15. 2386. Βλ. φρόνιμος 33.
2387. Βλ. βρισιὰ 2. Βλ. καὶ Αἰσώπ. κωμ, 25. 2391. Βλ. μύλος 18.
2392. Βλ. μύλος 33. Ἡ ἑρμηνεία ἀναφέρεται καὶ εἰς τὴν προηγουμένην.
2395. Βλ. πηγαίνω 57. πολλάκις 1. 2398. Βλ. νερὸ 62.
2419. Βλ. τόπος 30. 2421. Βλ. στανιὸ 2. Χειρ. λυσιτελεῖς.
2423. Βλ. ὑπόσχεση 2. 2424. Βλ. κρύβω 27.
2426. Βλ. σακκὶ 9. 2428. Βλ. κυττάζω 5.
2429. Βλ. χύνω 6. 2430. Βλ. φακὴ 15.

НБ ОНУ імені І.І.Мечникова

2435 [φ. 74 α] Φειδωλὸς καὶ ψεύστης ταχέως συμφωνοῦσιν. — Ἐπὶ τῶν ὑπ' ἀλλήλων ἀπατωμένων.

2436. Φειδωλοῦ μήτηρ ἐν ἀγορᾷ πωλεῖται. — Ὅτι ἐν ἀγορᾷ εὐκόλως αἱ συμβάσεις τελοῦνται.

2437. Φειδωλοῦ περιουσία ἐν χερσὶ ταῖς τοῦ ἀσώτου. — Ἐπὶ τῶν κακῶς δαπανώντων ἑτέρου περιουσίαν.

2440. Φέρω μίτον τῆς μηλωτῆς σου χάριν. — Ἐπὶ τῶν πρὸς ἐκδίκησιν ἀπειλούντων· μίτος δὲ τὸ κοινῶς ῥάμμα.

2441. Φθονερὸν ἀεὶ τὸ ὄμματ᾽ ὧν γειτόνων.

2444. Φίλησόν με προσδοκᾶν χρεῦσαί σε λαβεῖν με. — Ἐπὶ τῶν σφαλερὰς ὑποσχέσεις διδόντων.

2445. Φίλοι μὲν ὦμεν, τὰ δὲ μαρσίπια μάχην ἀγέτω. — Ὅτι δεῖ ἄνευ ζημίας φιλεῖν ἀλλήλους.

2446. Φίλον ὁ ἔχων τὸν κριτήν, τὸν δυνάστην οὐ πτοεῖται. — Ὅμοια τῇ Γαλῇ γραΐ.

2449. Φίλος διὰ φίλον ἀλεκτορίδα μετὰ πτερῶν ἐσθίει. — Ἐπὶ τῶν παρὰ λόγον τι διὰ φιλίαν πραττόντων.

2450. Φίλος ἐν ἀνάγκῃ μου, ἐχθρὸς δ' ἐν τῇ χαρᾷ μου. — Ὅτι δεῖ τῶν ἀτυχημάτων τοῖς φίλοις συγκοινωνεῖν.

2459. [φ. 74β] Φρονίμων ἔργα γενειάσι σοφῶν γνωστά. — Ἐπὶ φρονίμων τὴν ἰδίαν κρυπτόντων βουλήν.

2464. Φύσις φύσιν, μῦν δὲ γαλῆ διώκει. — Ἐπὶ φυσικῶν ἐπιτηδευμάτων.

2474. [φ. 75 α] Χαλκεῖς πάντες γένος ἕν. — Ἐπὶ τῶν ἀλλήλους οἰκειοποιουμένων.

2482. [φ. 75β] Χάρων εἴσοδον μὲν ἔχει, ἔξοδον δ' οὔ. — Ἐπὶ τῶν ἀμεταβλήτων.

2435. Βλ. ἀκριβὸς 8. 2436. Βλ. ἀκριβὸς 26.
2437. Βλ. ἀκριβὸς 27. 2440. Βλ ῥάμμα 3.
2441. Βλ. γείτονας 23. 2444. Βλ. φιλῶ 19.
2445. Βλ. φίλος 98. 2446. Βλ. κατὴς 8. Βλ. καὶ ἀνωτέρω ἀρ. 495 α.
2449. Βλ. φίλος 105 α Χειρ. ἀλεκτρίδα. 2450. Βλ. φίλος 94.
2459. Βλ. γένεια 39. 2464. Βλ. φύση 2.
2474 Βλ. γενιὰ 11. Χειρ. Χαλκεῖαι πᾶντες. 2482 Βλ. Χάρος 13.

НБ ОНУ імені І.І.Мечникова

2490. Χεὶρ ὑπὸ δίκης τμηθεῖσα οὐκ ἀλγεῖ. — Ὅτι τῷ δικαίῳ οὐδεὶς ἀντιτείνει.

2493. [φ. 76 α] Χελώνῃ ὁ δηχθεὶς μὴ ἰαθήτω. — Ἐπὶ τῶν ἡττόνων ὀλιγωρούντων· τῇ γὰρ χελώνῃ μυιῶν οὐ μέλει, τὸ ὀστρακῶδες ἐχούσῃ περίβλημα.

2495. Χἡμεῖς πονηροί, ἀλλ' ὑμεῖς ὑπὲρ ἡμᾶς. — Ἐπὶ πανούργων ἀπατωμένων ὑφ' ἑτέρων ὁμοίων.

2498. Χίλιαι νύμφαι τῷ νυμφίῳ, καὶ τῇ νύμφῃ οἱ νυμφίοι. — Ἐπὶ τῶν πολλὰ ἐκλεγόντων, ἓν δὲ κερδαινόντων.

2500. Χλωρὸν ὂν ἐμαράνθη. — Ἐπὶ κλεπτομένων, ἢ ἄλλως πῶς κρυπτομένων.

2515 [φ. 76 β] Χωλοὶ καὶ τυφλοὶ τῷ πανοικτίρμονι πάντες. — Ἐπὶ τῶν τοὺς πάντας εὐεργετούντων.

2516. Χώρα βάλλει ἱερέα, χώρα τοῦτο⟨ν⟩ ἐξωθεῖ. — Ὅτι ἡ ἐξουσία ἐπὶ τῆς κοινότητός ἐστι.

2533. [φ. 77 β] Ψωμόν με τὸν κορένοντα μακρόθεν γινώσκω. — Ἐπὶ τῶν τὰ ὠφελοῦντα προγινωσκόντων.

2534. Ψωμὸς ἐκχέει δάκρυα, ψωμὸς ἵστησιν αὖθις. — Ἐπὶ παίδων πεινώντων, διὸ καὶ κλαιόντων.

2535. Ὤδινεν ὄρος καὶ ἔτεκε μῦν. — Ἐπὶ τῶν μεγάλα λεγόντων, εἶτα ἀποτελούντων μικρά.

2540. Ὠὸν κολλῆεν ἢ Ὠὸν διερρωγὸς κολλᾷς. — Ἐπὶ τῶν εἰς γελοιώδη ματαιοπονούντων.

2544. Ὡς ἠγόρασα πωλῶ. — Ἐπὶ τῶν ὡς ἀκούουσι λεγόντων.

2546. Ὡς ὀλυρίτης ἄρτος διαχωρεῖ. — Ἐπὶ τῶν ἀκλήτως εἰσερχομένων. Ἐν κριβάνῳ γὰρ τῷ αὐτοπύρῳ ἄρτῳ συνεψόμενος ὁ ὀλυρίτης προσκολλᾶται ἐκείνῳ καὶ διαμένει τεμάχιον τῷ αὐτοπύρῳ.

2490. Βλ. κρίση 3.

2493. Βλ. χελῶνα 6. Ἡ ἑρμηνεία ἀναφέρεται καὶ εἰς τὴν προηγουμένην ταύτης ἀρχαίαν παρ. «Χελώνῃ μυιῶν οὐ μέλει».

2495. Βλ. πονηρὸς 3. 2498. Βλ. γαμπρὸς 68. 2500. Βλ. χλωρὸς 5.

2515 Βλ. ἅγιος Παντελεήμονας 1. Χειρ. τῷ πανοικτήμον πᾶντες. 2516. Βλ. χώρα 3.

2533. Βλ. ψωμὶ 22. 2534. Βλ. ψωμὶ 25. 2535. Βλ. ὄρος 2.

2540. Βλ. κολλῶ 11. Χειρ. Ὠὸν κολλήεις. 2544. Βλ. ἀγοράζω 12. Χειρ. ἀκούει.

2546. Βλ. παραχώνω 2.

НБ СНУ імені І. Мечникова

2553. [φ. 78 α] Ὦ τὸ ὀλίγον οὐχ ἱκανόν, τούτῳ γε οὐδὲν ἱκανόν. — Ἐπὶ τῶν τοῖς ὑπάρχουσι μὴ ἀρκουμένων.

[φ. 78 β΄.] Περὶ τῶν ταὐτοσημάντων ἀπὸ διαφόρων ἀρχομένων στοιχείων.

1.

Ἐπὶ τῶν ἀνοήτοις καὶ ἀδυνάτοις ἐπιχειρούντων.

9. Τῷ βοῒ τὸν λαγὼ κυνηγετεῖν.

2.

[φ. 79α]. Ἐπὶ τῶν μάτην πονούντων.

15. Ὅσον βούλει μέλας νίπτου, οὐδὲ μελαγχρὸς ἐκμάσσου.
16. Σίδηρον τύπτεις ψυχρόν.
22. Ὕδατι τελεῖς ὀπάς.
26. Ὕδωρ ὑπέρῳ πλήττειν.
27. Κατὰ ψάμμου κτίζεις.
30. Ῥάπτε, διαρρήγνυε, ἀσχολίαν ὅπως ἄγῃς.

3.

[φ. 79 β] Ἐπὶ τῶν μάτην λαλούντων τοῖς μὴ ἐπαισθανομένοις.

4.

Ἐπὶ τοῦ μὴ δεῖν ἐπὶ ταῖς τῶν θεῶν ἐλπίσι καθημένους ἀργεῖν.

5.

Ἐπὶ τῶν σκυθρωπῶν καὶ σιωπηλῶν.

2553. Βλ. ὀλίγος 7.

1. Τὰ πρῶτα 3 κεφάλαια τῶν ταὐτοσημάντων παροιμιῶν φέρουσιν ἐν τῷ χειρογράφῳ τὴν ἐπιγραφὴν σελὶς 1η, 2α, 3, τὰ δὲ λοιπὰ εἶναι ἁπλῶς ἠριθμημένα δι' ἀραβικῶν ψηφίων — Τὸ πρῶτον κεφάλαιον περιλαμβάνει 30 παροιμίας.

1, 9. Πρβλ. λαγὸς 35. 2. Περιλαμβάνει 30 παρ.
2, 15. Βλ. νίβω 30. Βλ. 4. 2, 16. Βλ. σίδερο 12. Χειρ. σίδηρηρον.
2, 22. Βλ. νερὸ 18. 2, 26. Βλ. νερὸ 30.
2, 27 Βλ. χτίζω 6 2. 30. Βλ. δουλειὰ 70.
3. Περιλαμβάνει 5 παρ. 4. Παροιμ. 3.
5. Παροιμ. 2.

НБ ОНУ імені І.І.Мечникова

6.

Ἐπὶ τῶν ἀπὸ ἐλάττονος κακοῦ εἰς μεῖζον περιπιπτόντων.

3. Ἔτρεχέ τις μὴ βρεχθείη, καὶ εἰς βόθρον ἀπεπνίγη.

7.

Ἐπὶ τῶν ἀπὸ εὐγενῶν ἢ ἀγενῶν γονέων, ἀγενῶν ἢ εὐγενῶν γινομένων· ἢ ἐπὶ τῶν ἀπὸ σεμνῶν ἐπὶ τὰ ἄσεμνα ἡκόντων· ἢ τὸ ἀνάπαλιν.

7. [φ. 80α] Ἐκ ῥόδων ἄκανθα.
8. Ἐξ ἀκάνθης ῥόδον.

8.

Ἐπὶ τῶν ἐν ἐσχάτοις κινδύνοις ὄντων.

3. Ἐκ τριχὸς κρέμαται.

9.

Ἐπὶ τῶν ταῦτα διδόντων, οἷσι χαίρουσιν οἱ λαμβάνοντες.

10.

Ἐπὶ τῶν διὰ τὴν οἰκείαν ἀρετὴν πάντας εἰς ἑαυτοὺς ἑλκόντων.

11.

Ἐπὶ τοῦ τὸν φεύγοντα μὴ ἀπ' εὐθείας τὴν φυγὴν ποιεῖσθαι, ἀλλ' εἰλεῖσθαι.

12.

Ἐπὶ τῶν τοῖς μεγάλοις τὰ μικρὰ φιλοτιμουμένων.

13.

Ἐπὶ τῶν ἐπιτηδευόντων παίγνια, δι' ὧν εἰς γέλωτα κινήσουσι τοὺς ὁρῶντας ἢ ἀκούοντας.

14.

Ἐπὶ τῶν ἀχρήστους ἐμπορίας ἀγόντων ἔνθα πολὺ τοιοῦτον πλῆθος.

15.

Ἐπὶ τῶν ἰσχὺν ἐχόντων ἐν τῷ δικάζεσθαι.

16.

Ἐπι τῶν δυσκατορθώτων μέν, ἐπιμελείᾳ δὲ καὶ συνεχείᾳ πράξεως κατωρθωμένων.

6. Παροιμ. 4. 6, 3. Βλ. βρέχω 8. 7. Παροιμ. 11.
7, 7. 8. Βλ. ἀγκάθι 3. 8. Παροιμ. 4. 8, 3. Βλ. τρίχα 3.
9. Παροιμ. 3. 10. Παροιμ. 2. 11. Παροιμ. 2.
12. Παροιμ. 2. 13. Παροιμ. 2. 14. Παροιμ. 5. Χειρ. ἐμπορίων.
15. Παροιμ. 2. 16. Παροιμ. 2.

НБ ОНУ імені І.І.Мечникова

17.

Ἐπὶ τῶν διπλοῦν νόημα ἐχόντων.

18.

Ἐπὶ τῶν ἀποτόμως οἰμώζειν τινὰ λεγόντων.

19.

Ἐπὶ τῶν πραοτάτων καὶ ἁπλουστάτων.

20.

Ἐπὶ τῶν καθ' ὑπερβολὴν γινομένων.

21.

Ἐπὶ τῶν ἀρετὴν ἀλόγως μετερχομένων.

1. [φ. 80 β]. Καλῶς μὲν τρέχουσιν, ἀλλ' ἐκτὸς τῆς ὁδοῦ.

22.

Ἐπὶ τῶν σχολαζόντων.

2. [φ. 81 α]. Ἐπὶ πασσάλῳ τὸ ξυστόν.

23.

Ἐπὶ τῶν εὐμεταβόλων.

24.

Ἐπὶ τῶν πεῖραν ἐχόντων οἷς προκαλοῦνται.

25.

Ἐπὶ τῶν ἀνωμάλως συμβαινόντων.

1. Ἅπαντ' ἀνώμαλα, ὁ δὲ γάμος τῇ τετράδι.
2. Τοῦ κακοῦ καιροῦ τὰ νέφη ἀλλεπάλληλα.

26.

Ἐπὶ τῶν παρὰ καιρὸν γινομένων

1. Ἐν καιρῷ οὐκ ἔβρεχεν, ἐν Μαΐῳ δ' ἔνιφε.
2. Μάθε, γέρον, γράμματα.
3. Πέρυσι μὲν ἐκάη, ἄρτι δ' ὄζει.

17. Παροιμ. 2. 18. Παροιμ. 2. 19. Παροιμ. 2.
20. Παροιμ. 2. 21. Παροιμ. 2. 21, 1. Βλ. τρέχω 11.
22. Παροιμ. 2. 22, 2. Βλ. ἀπὸ 24 καὶ ἀνωτέρω 300.
23. Παροιμ. 6. 24. Παροιμ. 3. 25. Παροιμ. 2.
25, 1 Βλ. γάμος 51. 25, 2. Βλ. νέφη 4. Χειρ. ἀνεπάλληλα.
26. Παροιμ. 3. 26, 1. Βλ. πρέπει 8. 26, 2. Βλ. μαθαίνω 53,
26, 3. Βλ. πέρσι 12.

НБ ОНУ імені І.І.Мечникова

27.

Ἐπὶ τῶν παρὰ καιρὸν ὁμιλούντων.

1. Πέρυσιν ἀνέφερες, νῦν δέμοι λέγεις.

28.

Ἐπὶ τῶν ἀκαίρως τι πραττόντων.

3. Δείπνει, πενθερά, ἐλθὲ δέ σε φθειρίσω.
6. Μετὰ τὸν τρυγητὸν ἡ γραῦς πλέκει σφενδόνην.
7. Εἰ θέρους ὥραις ηὔλεις, χειμῶνος ὀρχοῦ.
8. Παῖς οὔπω φανεὶς Ἰωάννης ἐκλήθη.
10. Ἔριφοι τυφλοὶ σελήνης βόσκονται.

29.

Ἐπὶ τῶν τὰ τίμια τοῖς ἀναξίοις ἐπιδιδόντων.

30.

Ἐπὶ τῶν πάνυ παλαιῶν.

31.

Ἐπὶ τῶν ἐν γήρᾳ μὲν ὄντων ἢ δυστυχίαις, πολλῶν δὲ ἄμεινον ἐχόντων.

1. [φ. 81 β] Βούβαλος καὶ γηράσας αὖθις ἐν τιμῇ βοός.
3. Ψωριῶσα κάμηλος πολλῶν ὄνων ἀνατίθεται φορτία.
5. Γέρων ὄρνις νεοσσῶν πολλῶν κρείσσω⟨ν⟩.

32.

Ὅτι οὐ δεῖ τοῖς κρείττοσιν ἐξισοῦσθαι.

5. Κυάμους μὴ σπεῖρε τῷ κρείττονι.
7. Εἰς τὴν λεῖψιν τῶν ἀγγέλων καὶ ὁ Μάρδαρις ἄγγελος.
9. Μετὰ τῶν ἐμπόρων, καὶ ὁ τυμπανιστρίας ἀνήρ.

33.

[φ. 82α]. Ἐπὶ τῶν τοῖς ὁμοίοις προσομιλούντων.

27. Παροιμ. 2. 27, 1. Βλ. πέρσι 2. 28. Παροιμ. 13.
28, 3 Βλ. πεθερὰ 8. 28, 6 Βλ. ἀποτρυγῶ 1. 28, 7 Βλ. ψάλλω 8.
28, 8 Βλ. βλέπω 5. 28. 10 Βλ. τυφλὸς 15. 29 Παροιμ. 4.
30 Παροιμ. 9. 31 Παροιμ. 5. 31, 1. Βλ. γερνῶ 34.
31, 3. Βλ. καμήλα 17. 31, 5 Βλ. γεροντόκοττα 1. 32 Παροιμ. 11.
32, 5. Βλ. καλύτερος 9. 32, 7. Βλ λεῖψα 1. Πρβλ. Ἀποστλ 554. Πλανούδ. 225.
37, 9 Βλ. πραματευτὴς 9. 33. Παροιμ. 10.

НБ ОНУ імені І.І.Мечникова

3. Ἡ μὲν βλοσυρὰ τὸ ἀρνίον, ἡ δὲ παραβλὼψ τὸ οἰκεῖον.
5. Βότρυς πρὸς βότρυν πεπαίνεται.
6. Ὅμοιον ὁμοίῳ δεῖ πλησιάζειν.
7. Ὅμοιον ὁμοίῳ φίλον.
8. Ὑπερήδεται ἄφρονι ἄφρων.

34.

Ἐπὶ τῶν ἑαυτοὺς ἐξομοιούντων, οἷς ὁμιλοῦσιν

1. Ἂν χωλῷ παροικήσῃς ὑποσκάζειν μαθήσῃ.
2. Πηρῷ πάρεδρος πηρώσεως μέτοχος.
3. Οἴῳ διδασκάλῳ πάρει, τοιαδὴ καὶ μαθήσῃ.

35.

Ὅτι ἄλλων ἁμαρτανόντων, ἄλλοι τιμωροῦνται.

1. Ἵππου πταίοντος, σάγην δέρει.
2. Μάγειρος ἀδικήσας, αὐλητὴν λαβεῖν πληγάς.
4. Ὑφάντου πταίσαντος ἠπητὴς ἐτύφθη. — Ἠπητὴς δὲ ὁ ῥάπτης.

36.

Ἐπὶ τῶν ἀνόμοια κακῶς συγκρινόντων.

1. Ἄλλοι ὀφθαλμοὶ γλαυκός, ἕτεροι τοῦ λαγωοῦ.

37.

Ἐπὶ τῶν οἰκείας κηλῖδας ἑτέροις προσαπτόντων.

1. Αἰσχύνη ἐν ὁδῷ αἰσχύνει τοὺς ὁδίτας.
3. Γειτνιῶσα κυρία, δέξαι μου τοὔνομα.
4. Τὰ οἰκεῖα τοῖς πλησίον.

38.

Ἐπὶ τῶν διδασκόντων τινάς, ἃ οὗτοι σαφῶς γινώσκουσι.

33, 3. Βλ. βρίσκω 85. 35, 5. Βλ. ῥῶγα 4 ἐκ τοῦ Ἀποστολ. 405.
33, 6. 7. Βλ. ὅμοιος 8. 33, 8. Βλ. μωρὸς 133 34. Παροιμ. 3. Χειρ. ἑαυτοῖς.
34. 1 Βλ. μαθαίνω 122. Βλ. καὶ Αἰσώπ. κωμῳδ. 33.
34, 2. Πρβλ. στραβὸς 45. 34, 3. Βλ. μαθαίνω 67. 35. Παροιμ. 4.
35, 1. Βλ. δέρνω 35. Χειρ. πάγην δέρει. 35, 2. 4 Βλ. δέρνω 37.
36. Παροιμ. 3. 36, 1. Βλ. ἄλλος 62. 37. Παροιμ. 4.
37, 1. Βλ. πομπὴ 16. 37, 3. Βλ. ὄνομα 17.
37, Βλ. 4. δικός μου 36. 38. Παροιμ. 2.

НБ ОНУ імені І.Мечникова

39.

[φ. 82 δ]. Ἐπὶ τῶν φιλίας παλαιᾶς ἀμνημονούντων.

3. Νέων φίλων εὐπορῶν παλαιῶν μὴ ἐπιλανθάνου.

40.

Ἐπὶ τῶν ὑπόπτων καὶ δεδιότων μὴ καταληφθῶσι.

1. Ἐγεύσατό τις τοῦ μέλιτος; ὁ τὴν μυῖαν ἐν σκιαδίῳ φέρων.

41.

Ἐπὶ τῶν ἀκαταληψίαν ὑποκρινομένων.

1. Τύμπανά που κρουόμενα.
2. Εἰς τὸ πέραν ὕει.

42.

Ἐπὶ τῶν ἀσύμφωνα λεγόντων

1. «Χαίροις, φίλε. — Κυάμους σπείρω».
3. Ἐγὼ σκόροδά σοι λέγω, σὺ δὲ κρόμμυα ἀποκρίνῃ.

43.

Ἐπὶ τῶν ἀναστροφὴν σημαινόντων πραγμάτων, παρὰ τὸ προσῆκον.

5. Τρεῖς ᾄδουσι, δύο δὲ χορεύουσι.
7. Ἡ κύων ὑπερέβη τὸν λαγωόν.

44.

Ἐπὶ τῶν πολλὰ μὲν ἅμα ζητούντων λαβεῖν, μηδὲν δὲ καρπουμένων.

1. Δύο πτῶκας ὁ διώκων οὐδέτερον καταλαμβάνει.
2. Πέπονες δύο οὐ φέρονται ὑπὸ μάλης.
4. Ὁ πολλὰ φαγεῖν λιχνεύων, μυίας τρώγει.
5. Βοῦν χανὼν λαβεῖν, μυῖαν ἔσχε.

39. Παροιμ. 3. 39, 3. Βλ. φίλος 33. 40. Παροιμ. 2.
40, 1. Βλ. μῦγα 30. 41. Παροιμ. 4. 41, 1. Βλ. κάπου 1.
41, 2. Βλ. βρέχω 47. 42. Παροιμ. 4. 42, 1. Βλ. σπέρνω 42.
42, 3. Βλ. σκόρδο 5. Ἐκ τοῦ Ἀποστολ. 548α. 1708. 43 Παροιμ. 7.
43, 5 Βλ. τρεῖς 13. 43, 7. Βλ. περνῶ 14. 44. Παροιμ. 7.
44, 1 Βλ δύο. 45. Ἐκ τοῦ Ἀποστολ. 1133. 44, 2 Βλ. δύο 37.
44, 4 Βλ. χάφτω 6. 44, 5 Βλ. χάφτω 3. Χειρ. Βοῦν χακόν.

НБ ОНУ імені І.І. Мечникова

45.

[φ. 83 α] Ἐπὶ τῶν ὑπὸ πάντων καταφρονουμένων.

2. Καὶ φίλοι μοι ἐχθροί, καὶ οἰκεῖοί μοι ξένοι.

46.

Ἐπὶ τῶν ἀπὸ τῶν εὐεργετουμένων βλαπτομένων

1. Κύων ἐμοὶ λύκῳ διάκονος.
2. Κύων τῷ πτωχῷ βοηθῶν.
3. Θρέψον λύκον χειμῶνος, φαγεῖν σε θέρους.
4. Κακὴν χώραν μὴ εὐποίει.
5. Λίθοις με βάλλοις τοῖς ἐμοῖς.
6. Κακὸν ποίει καλόν, ἵν' ἔχῃς κακόν.
8. Ξένον ὁ ἔχων δεσπότην ἔχει.
9. Ξένον φυλάττων, λύκον φυλάττεις.
10. Μηδ' ἀγαθὸν ποιήσῃς, μηδὲ κακὸν ἀκούσῃς.
11. Ποίει καλῶς, ἀκοῦσαι κακῶς.
12. Ἐδιδαξά σε κυβιστᾶν καὶ σὺ βυθίσειν με ζητεῖς. — Κυβιστᾶν δὲ τὸ κολυμβᾶν.
13. Ἀνάστα, λύκε, φαγεῖν δεσπότην.

47.

Ὅτι τοῖς χρείαν ἔχουσι δεῖ φροντίζειν.

2. Ὁ ἄμπελον ἔχων βαλέτω ἐργά⟨τας⟩.
3. Ὁ τὴν γενειάδα ἔχων φέρει καὶ τὸ κτένιον.

48.

Ἐπὶ τῶν τοὺς ὁμοτέχνους λοιδορούντων.

49.

Ἐπὶ ἀμαθῶν καὶ διὰ τοῦτο ἀφώνων.

45 Παροιμ. 2. 45, 2 Βλ. φίλος 52. 46 Παροιμ. 13.
46, 1 Βλ. σκύλος 19. 46, 2 Βλ. κύων 2. 46, 3 Βλ. θρέφω 5.
46, 4 Πρβλ. καλὸ 22. 46, 5 Βλ. βαρῶ 22. 46, 6 Βλ. καλὸ 24.
46, 8 Βλ. ξένος 143. Χειρ. Ξένων. 46, 9 Πρβλ. ξένος 78. Χειρ. Ξένων-λύκος.
46, 10 Βλ. καλὸ 40α 46, 11 Βλ. καλὸ 21. 46. 12. Βλ. μαθαίνω 109,
46, 13. Βλ. ἀφέντης 30 α. 47 Παροιμ. 5. 47, 2 Βλ. ἔχω 140.
47, 3 Βλ. γένεια 21. 48 Παροιμ. 2. 49. Παροιμ. 4.

НБ ОНУ імені І.Мечникова

50.

Ὅτι ἕκαστον ἔθνος ἦθος ἴδιον ἔχει.

1. Κατὰ χώραν καὶ τὸ ἔθος.
2. Νόμος καὶ χώρα.

51.

Ἐπὶ τῶν πρότερον μὲν μεγίστων, ὕστερον δὲ μικρῶν καὶ ἐμφόβων φαινομένων.

52.

Ὅτι δεῖ περὶ τῶν ἀναγκαίων προνοεῖσθαι.

2. Τῶν φρονίμων οἱ παῖδες πρὸ τῆς πείνης τὰ ὄψα.

53.

Ἐπὶ τῶν κακῷ τὸν κακὸν ἐκκρουόντων.

54.

[φ. 83 δ] Ἐπὶ τῶν πειρωμένων κακῷ τὸ κακὸν ἰᾶσθαι.

1. Κακῷ τὸ κακὸν θεραπεύειν.

55.

Ἐπὶ τοῦ δεῖν τὸν μετερχόμενον καὶ ἐσκεμμένως καὶ μὴ ὡς ἔτυχε πράττειν.

1. Βραδέως ἐλθέ, μετ' ἀλφίτων δέ.

56.

Ἐπὶ τῶν ἀπαιδεύτων, ἑτέρους νουθετούντων.

3. Νεοσσὸς ὄρνιν διδάσκει.
4. Τυφλὸς τυφλῷ ὁδηγός.

57.

Ἐπὶ τῶν εὐχερείας πραγμάτων τυγχανόντων.

1. Εὗρεν ὁ χωλὸς κατάντη.
2. Χωλὸς ἐπὶ πρανοῦς.

50. Παροιμ. 2. 50, 1. Βλ. τόπος 21.
50, 2 Βλ. νόμος 3. Ἐκ τοῦ Ἀποστολ. 1214 α. Σουίδ. λ. 51. Παροιμ. 2.
52. Παροιμ. 2. 52, 2 Βλ. πρὶν 23. 53 Παροιμ. 3.
54. Παροιμ. 2. 54, 1 Βλ. κακὸ 18. 55. Παροιμ. 3
55, 1. Βλ. ἀργῶ 6. 56 Παροιμ. 6. 56. 3. Βλ. ὁρμηνεύω 8.
56, 4. Βλ. στραβὸς 50. 57. Παροιμ. 2.
57, 1. 2. Βλ. κατήφορος 2. Χειρ. κρετάντη.

НБ ОНУ імені І.І.Мечникова

58.

Ὅτι τοῖς ἀθώοις οὐδὲν ἐπέρχεται κακόν

1. Οὐρανὸς αἴθριος ἀστραπὴν οὐ πτοεῖται.
2. Οἱ μέλιτος ἄγευστοι κοιλοπονίας ἐκτός.

59.

Ἐπὶ τῶν ἀσθενῶς βιούντων

3. Χάρωνι ὕδωρ κομίζει.
4. Χάρωνος παρακαλοῦντος, αὐτὸς γάννυται.

60.

Ὅτι ἕκαστον δεῖ τὴν ἰδίαν τάξιν σώζειν.

1. Ἱερέα δεῖ τιμᾶσθαι, ἀλλὰ δὴ καὶ γνῶσιν ἔχειν.
2. Τὸν μικρὸν αἰδεῖσθαι, τὸν δὲ μέγαν χρὴ γινώσκειν.
3. Φύλαττε τάξιν, καὶ ἱερεὺς ὤν.

61.

Ἐπὶ τῶν μελαγχολούντων

62.

Ἐπὶ τῶν κατ' ἀξίαν ἀμειβομένων.

1. Τοιοῦτος φίλος, τοιαύτη δεξίωσις.
2. Οἷος ὁ φίλος, τοιοῦτος πλακοῦς.

63.

Ἐπὶ τῶν ἀπὸ τῶν οἰκείων ἔργων ἢ κτημάτων τοὺς δεσπότας διωκόντων.

1. Ἔπηλυς τὸν ἔνοικον.
2. Ἦλθον τὰ ἄγρια ἐξελθεῖν τὰ ἥμερα.

64.

[φ. 84α]. Ἐπὶ τῶν ὧν βούλονται τυγχανόντων.

5. Μαρία τὸν χορὸν ἀγαπῶσα περιέτυχεν ἀνδρὶ ὀρχηστῇ

58. Παροιμ. 3. 58, 1. Βλ. καθαρὸς 5. 58, 2. Βλ. τρώγω 139.
59. Παροιμ. 4. 59, 3. Βλ. Χάρος 11. 59, 4. Βλ. Χάρος 14.
60. Παροιμ. 4. 60, 1. Βλ. τιμῶ 3. 60, 2. Βλ. ἐντρέπομαι 22.
60, 3. Βλ. ἀράδα 7. 61. Παροιμ. 2. 62. Παροιμ. 2.
62, 1. Πρβλ. φίλος 85. 62, 2. Βλ. φίλος 85. 63. Παροιμ. 2.
63, 1. Βλ. ἔνοικος 1. Ἐκ τοῦ Ἀποστολ. 676. 63, 2. Βλ. ἔρχομαι 14.
64. Παροιμ. 5. 64, 5. Βλ. βρίσκω 3.

НБ ОНУ імені І.І.Мечникова

65.

Ἐπὶ γειτόνων διαστρόφων.

66.

Περὶ συκοφαντῶν.

6. Φόβησον οἰκοδεσπότην ἀπορρίψαι τὸ οἰκεῖον. — Ἐπὶ τῶν συκοφαντούντων.

[67.]

Περὶ σκληρῶν καὶ ὀργίλων.

9. [φ. 84 β] Γλῶσσα μὲν ἀνόστεος, ὀστέα δὲ θλάττει. — Ἐπὶ τῶν πικρῶς ἐπιτιμώντων.

10. Τὸ ὀξὺ ὄξος τὸ αὐτοῦ βλάπτει ἀγγεῖον. — Ἐπὶ τῶν ὀξυχόλων.

12. Ἔθος ὄρεσιν ὕειν καὶ χιονίζειν. — Ἐπὶ τῶν ὀργίλων.

19. Λέγε κακῶς, ἐπεὶ καλῶς οὐκ ἔμαθες. — Ἐπὶ τῶν φύσει ὑβριστῶν.

25. Πικρᾶς ἐλαίας πικρία.

26. Προσηλία ἔχιδνα. — Ἐπὶ τῶν πικρολόγων.

[68.]

Περὶ τῶν εἰς μηδὲν χρησιμευόντων.

7. [φ. 85 α]. Στερηθῆναί σου χειμῶνος, θέρους δέ σου εὐτυχεῖν. — Ἐπὶ τῶν ἀχρείων καὶ εἰς οὐδὲν λυσιτελούντων.

8. Κεκαθαρμένη Θεοδώρα, τὴν ἐμβάδα ἐν τρυβλίῳ. — Ἐπὶ τῶν ῥυπαρῶν καὶ ἀνεπιτηδείων.

[69.]

Ἐπὶ τῶν μηδενὸς λόγου ἀξίων.

2. Ἄωρα βράβελλα, πικραὶ ἐλαῖαι. — Βράβυλλα δὲ τὰ κοινῶς δαμάσκηνα.

65. Παροιμ. 2. 66. Παροιμ 7. 66, 6. Βλ. φωνὴ 2. 17.
67. Παροιμ. 30. 67, 9 Βλ. γλῶσσα 26. 67. 10 Βλ. ὀξὺς 1.
67, 12 Βλ. μαθαίνω 58. 67, 19. Βλ. κακολογῶ 1. 67, 25. Βλ. πικρὸς 6.
67, 26 Βλ. ὀχιὰ 1. Ἡ ἑρμηνεία κοινὴ καὶ εἰς τὴν προηγουμένην.
68. Παροιμ. 8. 68, 7. Βλ. χάνω 60. 68, 8. Βλ. παστρικὸς 9.
69. Παροιμ. 32. 69; 2. Βλ. ἄγουρος 3.

НБ ОНУ імені І.І.Мечникова

3. Δέκα τοὐβολοῦ.

4. Ἄνεμος τετηγανισμένος.

6. Χιὼν ἐν ὀβελίσκῳ.

14. Ἡλίκος ὁ καρκίνος, πηλίκον δ' ἔχει βρῶμα.

24. Τίς χρεία πυθομένου κρομμύου; — Ἐπὶ ἀχρήστων· πυθομένου δὲ ἤτοι σεσηπότος.

[**70.**]

Περὶ κακοτρόπων.

11. [φ. 85 β] Τὸν οἴκοθεν βρεχόμενον οὐδὲ θεὸς οἰκτείρει. — Ἐπὶ τῶν ἐξ οἰκείας γνώμης κακῶν.

21. Πτηνὸν πονηρὸν δυσὶν ἁλίσκεται τοῖς ποσίν.

22. Ἀριστῶν ἠπάτησας, δειπνήσων οὐ λήσεις.

24. Κἀκεῖνος αἰσχύνης, καὶ οὗτος παιγνίου γέμει.

30. Θεὸς τῷ δυστυχεῖ δίδωσι κακὴν βουλήν.

31. Λύκος τὴν τρίχα, οὐ τὴν γνώμην ἀλλάττει.

32. Οἶδε Θεὸς τίνα ξηραίνει δένδρων. — Ἐπὶ κακοτρόπων.

[**71.**]

[φ. 86 α]. Περὶ δικαίων.

1. Οὐ πᾶν δίκαιον βαρύ, οὐδ' ἄδικον προσῆκον.

2. Λοξὰ καθέζου, ὀρθὰ δεκρῖνον.

[**72.**]

Περὶ ἀδίκων.

[**73.**]

[φ. 86 β]. Περὶ ἀδολέσχων.

69, 3. Βλ. παρᾶς 2 Χειρ. Δεκάτου ὀβολοῦ. Ἐκ τοῦ Ἀποστολ 493 f.
69, 4. Βλ. ἄνεμος 7. 69. 6. Βλ. ἄνεμος 7. χιόνι 13.
69, 14. Βλ. κάβουρας 13. 69, 24. Βλ. σάπιος 6. Χειρ. πειθομένου
70. Παροιμ. 47. 70, 11. Βλ. βρέχω 55. Ἐκ τοῦ Ἀποστολ. 1591.
70, 21. Βλ. πονηρὸς 9. 70, 22. Βλ. γελῶ 23. 70, 24. Βλ. πομπὴ 22.
70, 30. Βλ. κακορρίζικος 4. 70, 31. Βλ. λύκος 63. Ἀποστόλ. 1166.
70, 32 Βλ. θεὸς 137. Ἡ ἑρμηνεία διὰ κοινῆς γραμμῆς δηλοῦται ὅτι ἀναφέρεται καὶ εἰς πάσας τὰς προηγουμένας 16-31.
71. Παροιμ. 10 71, 1. Βλ. δίκιο 3.
71, 2. Βλ. κρίνω 4. 72. Παροιμ. 7. 73. Παροιμ. 29.

НБ ОНУ імені І. Мечникова

5. Σχοινίον λῶρος.

6. Ὡς ὁ μωρὸς τὸ τύμπανον. — Ἐπὶ τῶν τὸ αὐτὸ πολλάκις λεγόντων ἢ πραττόντων.

11. Ἐκ στόματος κοράκων ἐξελεύσεται κρά. — Ἐπὶ τῶν ἀλυσιτελῶς λαλούντων.

22. Στρογγύλοι σου ἔστωσαν οἱ λόγοι.

23. Ταῦτα λῆροι γηραιοῦ καὶ τῆς γραὸς μαντεῖαι. — Ἐπὶ πολυλόγων καὶ φλυάρων.

[74]

Περὶ φρονίμων.

[75.]

[φ. 87α] Περὶ μωρῶν καὶ ἀνοήτων.

22. [φ. 87β] Κωφὸν φωνησάντων, ἑνάτῃ μὲν ἀκούσας, δεκάτῃ δ' ἀπεκρίθη. — Ἐπὶ νωθρῶν καὶ ἠλιθίων.

27. Ἅπαντες ξύλον, αὐτὸς δὲ δαλός.

30. Αἶρον κεφαλὴν καὶ πάτασσε τοῖχον.

31. Ἀνόητος νεοττὸς ἑκὼν δείκνυσι τὴν ἑαυτοῦ νεοσσιάν.

38. Ὄνῳ τις ἔλεγε μῦθον, ὁ δὲ τὰ ὦτα ἐκίνει.

46. Τυφλὸς τῷ τοίχῳ ἐπερειδόμενος, ἕως ὧδε ὁ κόσμος ἔφη.

[76]

Περὶ κενοδόξων.

5. [φ. 88α] Π⟨ό⟩τε κολοκύνθη, καὶ λοξὴ κατὰ λαιμόν; — Ἐπὶ τῶν παρ' ὥραν κενοδοξούντων.

8. Τέμνει σου τὸ ξίφος ὕδωρ, ἡ δὲ σπάθη σου χιόνα. — Ἐπὶ τῶν διὰ σμικρὰν ἐξουσίαν λίαν ἐπαιρομένων.

73, 5. Βλ. σκοινὶ 3

73, 6. Βλ. μωρὸς 145 Ἡ ἑρμηνεία ἀναφέρεται καὶ εἰς τὴν προηγουμένην παρ.

73, 11. Βλ. κόρακας 13. 73, 22. Βλ. λόγος 154. Χειρ. Στογγύλοι.

73, 23. Βλ. γριὰ 17. Ἡ ἑρμηνεία κοινὴ εἰς πολλὰς τῶν προηγουμένων καὶ ἑπομένων.

74 Παροιμ. 5. 75 Παροιμ. 46. 75, 22 Βλ. κουφὸς 38.

75, 27. Βλ. ὅλος 8. 75, 30. Βλ. κεφάλι 22.

75, 31 Βλ. ἀνόητος 1. Ἀποστόλ. 217. 75, 38 Βλ. ὄνος 3. Χειρ. Ἄνω τίς.

75, 46 Βλ. τυφλὸς 19. 76. Παροιμ. 31.

76, 5 Βλ. κολοκύθα 8. 76, 8. Βλ. κόβω 7α.

НБ ОНУ імені І.Мечникова

15. Χάλαζα αἶγα δέρει, αὐτὴ δὲ τὴν οὐρὰν ἄνω.—Ἐπὶ τῶν πολλὰ πασχόντων, μὴ ταπεινουμένων δέ.

25. Κεφαλῇ τὸν οὐρανὸν ἐκταράττει. — Ἐπὶ ἀλαζόνων.

26. [φ. 88β] Ἰσχνὸν μὲν τὸ ἀρνίον, πλατεῖα δὲ ἡ οὐρά. — Ἐπὶ πτωχῶν καὶ ἀχρείων κενοδόξων.

29. Ἐν τῷ τυχόντι σχοινίῳ ⟨οὐκ⟩ ἀπάγχεται. — Ἐπὶ τῶν καὶ ἐν ἀτυχήμασι τὴν κενοδοξίαν αἱρουμένων.

[**77**]

Περὶ ἀχαρίστων.

4. Λούεις με, κτενίζεις με, οἶδα τὸν τεκόντα με.

5. Ὅς κύνα τρέφει ξ|ένον, τούτῳ μόνον λῖνος μένει.

[**78**]

Περὶ φυλαργύρων

1. Ἀγαρηνοὶ χρημάτων δοῦλοι. — Ἐπὶ τῶν ἄκρως φιλαργύρων.

3. Ἀπὸ τῆς χώρας ἡ διφθέρα. — Ἐπὶ τῶν δωροληπτῶν καὶ ἐθάδων τοῦ ἁρπάζειν τὰ τῶν πολλῶν.

5. Καὶ σῶος ὁ ἄρτος, καὐτὸς κεκορεσμένος. — Ἐπὶ φειδωλῶν τῶν μήτε δαπανᾶν ἐθελόντων, μήτε τὴν χρείαν αὐτὼν ἀπλήρωτον ἔχειν.

7. Ὀφθαλμοὶ λίχνοι, ψυχὴ ἀπωλεσμένη. — Ἐπὶ πλεονεκτῶν.

9. Βάλλει κεράμους, ἐξάγει δ' ἄρτους. — Νόει κριβάνῳ. Ἐπὶ τῶν καὶ ἀπὸ τῶν ἀπόρων τι κερδαινόντων.

11. Εἷς οἶκος οὐ δύναται τοὺς δύο κύνας.—Ἐπὶ δωροληπτῶν σπουδαζόντων ἵνα εἷς ἐξ αὐτῶν τὸ ὅλον λάβῃ.

14. [φ. 89α] Δόλου χωρὶς ἰχθὺς οὐχ ἁλίσκεται. — Ἐπὶ τῶν δωροληπτῶν.

76, 15. Βλ. γίδα 7. Χειρ. δαίρει, ἀντὶ δὲ τὴν. 76, 25. Βλ. οὐρανὸς 4.
76, 26. Βλ. φτωχὸς 30. 76, 29. Βλ. ποταπὸς 1. 77. Παροιμ. 5.
77, 4. Βλ. γεννῶ 8. 77, 5. Βλ. ξένος 145. Ἀποστόλ. 1210.
78. Παροιμ. 24. 78, 1. Βλ. Τοῦρκος 4. 78, 3. Βλ. χώρα 1.
78, 5. Βλ. χορταίνω 9. 78, 7. Βλ. μάτι 68.
78, 9. Βλ. βγάζω 29 78, 11. Βλ. δύο 40α. 78 14. Βλ. δόλος 10.

НБ ОНУ ІМЕНІ І.Мечникова

18. Ἕλκει λαγὼς λέοντα χρυσίνῳ βρόχῳ. — Ἐπὶ τῶν ὑπὸ δώρων ἁλισκομένων.

20. Τὸν πόκον περικείρεσθαι βούλομαι τῶν προβάτων, ἀλλ' οὐ ξηρᾶσθαι δυσμενῶς ἄχρις ἐπιδερμίδος.

Ἐπὶ τῶν βαρέως φορολογούντων.

24. Ὠὸν ὅλον καταναλίσκεις. — Ἐπὶ τῶν λίαν φειδωλῶν.

[**79**]

Περὶ τῶν εὖ ποιεῖν μὴ θελόντων.

3. Ἐπαίτῃ κλάσμα ἐπίδος, θύρας δὲ μὴ δείκνυ.

4. Οὐδέπω δέδωκας ὠόν, οὐδ' ἐν Λαζάρου ἡμέρᾳ.

6. Ὁ δοτὴρ μετέστη, ὁ δὲ υἱὸς αὐτοῦ ἀπέστη.

7. Ὠὰ καὶ μὴ πτερά.

[**80**]

Περὶ πλουσίων.

5. Πολὺ ὁ ἔχων πέπερι κἂν λαχάνοις. — Ἐπὶ τῶν δι' εὐπορίαν καὶ [φ. 89 β.] τὰ μὴ ἀναγκαῖα πραττόντων.

[**81**]

Περὶ τῶν παρ' ἐλπίδα πλουτούντων.

1. Σὺ καθίζων, τύχην ἔχεις ὑπουργοῦσαν.

2. Ὠὸν ἕψοντος, ἄλλου δὲ παρισταμένου, ἕτερος ἀφείλετο.

3. Ἄλλοι σκάπτουσιν ἀμπέλους, ἕτεροι μεθύουσι.

6. Ἄλλοι σπείρουσιν, ἄλλοι δ' ἀμήσονται.

7. Ὁ σπείρας μὴ θερισάτω.

8. Ψωμὸς ἀλλότριος, ὀδόντες οἰκεῖοι.

10. Ἔμπορος ἀφυὴς σαφὴς ἐπαίτης. — Ἐπὶ τῶν παρ' ἀξίαν εὖ πραττόντων.

78, 18. Βλ. γρυσὸς 4. Χειρ. Εἵλκει. 78, 20. Βλ. περικείρω 1. Mant. prov. 216.
78, 24. Βλ. αὐγὸ 62. 79. Παροιμ. 7.
79, 3. Βλ. διακονιάρης 7. Χειρ. δείκνυς. 79, 4. Βλ. δίνω 99.
79, 6. Βλ. χαριστὴς 1. 79, 7. Βλ. αὐγὸ 20. 80. Παροιμ. 25.
80, 5. Βλ. πολὺς 25. 11. Ἀποστόλ. 1136. 81, Παροιμ. 10.
81, 1. Βλ. τύχη 12. 81, 2. Βλ. ἄλλος 110. 81, 3. Βλ. ἄλλος 87.
81, 6. Βλ. ἄλλος 123. 81, 7. Βλ. θερίζω 12. 81, 8. Βλ. ξένος 97.
81, 10. Βλ. πραματευτὴς 1.

НБ ОНУ імені І.І.Мечникова

[**82**]

Περὶ ψευστῶν.

4. Χίλιοι χιλίους λόγους καὶ ἐκ τούτων οὐδὲ εἷς.

7. Πᾶς ψεύστης κλέπτης.—Ἐπὶ κλεπτῶν τούτου γὰρ χάριν ψεύδεται, ἵνα τι κερδάνῃ.

[**83**]

[Φ. 90α] Περὶ ἀληθευόντων.

6. Μῦθος ψευδὴς οὐκ ἔνι.

9. Τὸ ἐν τῇ καρδίᾳ τοῦ νήφοντος, ἐν τῇ γλώσσῃ τοῦ μεθύοντος.—Ἐπὶ τῶν ἐν μέθῃ τὴν ἀλήθειαν λεγόντων.

[**84**]

Περὶ κολάκων.

[**85**]

Περὶ φιληδόνων.

10. Ὅπου γάμος, καὶ τρυφή, Ἰωάννης ὁ λίχνος.—Ἐπὶ τῶν τοῖς πότοις χαιρόντων.

[**86**]

[φ. 91α] Περὶ ἀσελγῶν.

[**87**]

Ἐπὶ τῶν εἰς τὰς αὐτὰς αἰσχρουργίας ἐπιστρεφόντων.

1. Κύων ἐπὶ τὸ ἴδιον ἐξέραμα.

2. Ὗς λουσαμένη εἰς κύλισμα βορβόρου.

[**88**]

Ἐπὶ τῶν εἰς τὸ χεῖρον προχωρούντων.

1. Ὅσον δεῖ προχωρῆσαι ἀναποδίζει.

2. «Πῶς σοι ἔχουσι, κόραξ, οἱ νεοσσοί;—Μελάντεροι», ἔφη.

82. Παροιμ. 9. 82, 4. Βλ. λόγος 205. 82, 7. Βλ. ψεύτης 14.
83. Παροιμ. 14. 83, 6. Βλ. μῦθος 1.
83, 9. Βλ. μεθῶ 17. Ἀποστολ. 1604. 84. Παροιμ. 4.
85. Παροιμ. 33 85, 10 Βλ. γάμος 61. 86. Παροιμ. 17.
87. Παροιμ. 2. 87, 1. Βλ. σκύλος 72. Πετρ. ἐπ. Β', δ', 22.
87. 2. Βλ. γουροῦνι 19. Πέτρ αὐτ 88. Παροιμ. 2
88, 1. Βλ. ἐμπρὸς 33. 88, 2. Βλ. παιδὶ 69.

НБ ОНУ імені І.І.Мечникова

[**89**]

Ἐπὶ τῶν πεῖραν πραγμάτων μὴ ἐχόντων

1. Ἃ εἶδες ταῦτα λέγεις.

[**90**]

Ἐπὶ τῶν ἀλλήλους βοηθούντων.

[**91**]

[φ. 91 δ] Ἐπὶ τῶν ποτὲ ἰσχυρῶν ἢ νέων ἢ εὐτυχῶν.

[**92**]

Ἐπὶ τῶν ἑαυτοὺς μᾶλλον τῶν ἑτέρων ἀγαπώντων

[**93**]

Ἐπὶ τῶν δυσμόρφων

[**94**]

Ἐπὶ τῶν δυσειδῶν καὶ ἀσέμνων.

[**95**]

Ἐπὶ τῶν λίαν ὡραίων.

[**96**]

Ἐπὶ ἀκάρπων.

2. Χίλια κλήματα, βότρυες δέκα.

[**97**]

[φ. 92 α] Ἐπὶ τῶν ἀπορωτάτων.

7. Ἐν ἡλίῳ μοῖραν οὐκ ἔχει.
8. Ἐξ ὧν περίκειμαι, κλέπτην οὐ πτοοῦμαι.
10. Ὀψὲ κυάμους, νῦν δὲ ζωμὸν κυάμων.
11. Ἅπασαν τὴν οὐσίαν ἠμφιᾶσθαι.
12. Οὐαὶ τῷ ἐλπίζοντι δείπνῳ τῶν γειτόνων.
15. Τί Θεὸς παρέσχε, τί δὲ Χάρων λαβεῖν;

[**98**]

Περὶ δυστυχῶν.

89. Παροιμ. 2. 89, 1 Βλ. βλέπω. 97. 90. Παροιμ. 3.
91. Παροιμ. 3. 92. Παροιμ. 2. 93. Παροιμ. 5.
94. Παροιμ. 3. 95. Παροιμ. 5. 96. Παροιμ. 2.
96, 2. Βλ. κλῆμα 4. 97. Παροιμ. 15. 97, 7. Βλ. ἥλιος 14.
97, 8. Βλ. φορῶ 2. 97, 10. Βλ. κουκκιὰ 13. 97, 11. Βλ. ἔχω 162.
97, 12. Βλ. γείτονας 7. 97, 15. Βλ. Χάρος 18. 98. Παροιμ. 30.

НБ ОНУ імені І.І. Мечникова

15. Ἄκμονος μεταξὺ καὶ σφύρας. — Ἐπὶ τῶν ἐν μεγάλαις στενοχωρίαις εὑρισκομένων.

23 [φ. 92β] Ἐγγὺς ὀστέου ἡ μάχαιρα.

24. Μωρῷ καὶ παράφρονι τάφος ἡ θεραπεία.

25. Σάκκῳ διερρωγότι μὴ ἐπίβαλλε. — Ἐπὶ κακῶν ἀθεραπεύτων.

27. Πάχνη πίπτει, ἵνα ψύξῃ. — Ἐπὶ τῶν ἐπερχομένων ἡμῖν κακῶν.

30. Σὺν τῷ κυνὶ καὶ τὸν ἱμάντα. — Ἐπὶ τῶν τὰ πάντα ἀποβαλόντων, καὶ μηδενὸς λειπομένου πρὸς παραμυθίαν.

[99]

Ἐπὶ τῶν οἷα ἔδρασαν πασχόντων.

1. Ὅπου πτωχὸς αὐτοῦ πεπρωμένη.
2. «Τί εἶχες, Παῦλε;—Ὃ εἶχον ἀεί». — Ἐπὶ τῶν δυστυχῶν.
3. Ὁ ἐκ γενετῆς μέλας ἀεὶ μέλας.
4. Οὐαί, ᾧ ὁ χιτὼν μὴ ἐκόπη ποδήρης.
5. Ὁ πρωὶ μὴ γελῶν, οὐδ' ἐν μεσημβρίᾳ.
6. Οὐδέπω ἡδονὴ τῷ δεῖνι, οὐδὲ νῦν αὐτοῦ τοῖς τέκνοις.
7. Ὃ ἡ αἶξ ποιεῖ βαλάνῳ, τοῦτο βάλανος αἰγίδι.
8. Ἀπήντησε κακοῦ βουλὴ πρὸς ὑπερτάτην ἄτην.
9. Ὁ μῦς τὰ ἄλευρα, τὸν δὲ μῦν ἡ γαλῆ.
10. Καρπὸν ὃν ἔσπειρας θέριζε.
11. Ποιῶν πάσχε, καρδίαν δὲ μὴ δάκνου.
12. Καθὼς ἔθρυψεν ἔφαγεν.

98, 15. Βλ. ἀμόνι 2. 98, 23. Βλ. κόκκαλο 3. Χειρ. μάουαιρα.
98, 24. Βλ. μωρὸς 155.
98, 25. Βλ. σακκὶ 29. Ἡ ἑρμηνεία ἀναφέρεται καὶ εἰς τὰς δύο προηγουμένας.
98, 27. Βλ. πάχνη 1. 98, 30. Βλ. καὶ 10.
99. Παροιμ. 15. 99, 1. Βλ. φτωχὸς 74.
99, 2. Βλ. ἔχω 176. Ἡ ἑρμηνεία ἀναφέρεται καὶ εἰς τὴν προηγουμένην.
99, 3. Βλ. γεννιέμαι 8. 99, 4. Βλ. κοντὸς 1.
99, 5. Βλ. γελῶ 35. 99, 6. Βλ. χαρὰ 19. 99, 7 Βλ. κάνω 94.
99, 8. Βλ. κακὸς 2. Ἀποστόλ. 264. Χειρ. Ἀπήντησα.
99, 9. Βλ. τρώγω 316. 99, 10. Βλ. θερίζω 9. 99, 11. Βλ. κάνω 50.
99, 12 Βλ. τρίβω 2.

НБ ОНУ імені І.І.Мечникова

14. Ἄτοπα σπείρων ὀδύνας θερίσεις.

[100]

Ἐπὶ τῶν μείζονα τιμωρίαν ὧν ἥμαρτον διδόντων.

2. Γλυκέα φαγών, ἀποτίσεις πικρά.

[101]

Περὶ τῶν καθ' ἑαυτῶν τι ποιούντων.

4. Διὰ τὴν βληχὴν ὁ χρεμετισμὸς ἀπέδρα. — Ἐπὶ τῶν μικρὰ κλεπτόντων, μεγάλα δὲ ἀποτιόντων. Πρόβατον γάρ τις κλέψας ἀφῃρέθη τὸν ἵππον· τὴν φωνὴν ἔλαβε τοῦ προβάτου καὶ ἵππου ἀντ' αὐτῶν.

7. Λαγὼς καθ' ἑαυτοῦ σπείρει τὸ πέπερι. — Ἐπὶ τῶν ἑαυτοῖς αἰτίων ὄντων κακῶν.

22. [φ. 93β] Ἧλον κἀμοὶ ἐμβάλετε. — Ἐπὶ τῶν καθ' ἑαυτῶν τι ζητούντων· κάμηλος γὰρ κάρφος ἐμβαλεῖν τῷ ποδὶ αἰτήσασα, ὃν τρόποις τοῖς ἵπποις ἐμβάλλεται, ἐνέβαλον καὶ πληγὴν ἐδέξατο.

26. [φ. 94α] Ἄνω ὁ πτύων, εἰς ἑαυτὸν πτύει. — Ὁ τοῦ οἰκείου καταφρονῶν ἑαυτὸν ἀτιμάζει. Ὡς γὰρ τὸ ἄνω ῥιπτόμενον ἀναγκαίως κατὰ τοῦ ῥίπτοντος κάτεισιν, οὕτω καὶ ἡ τῷ οἰκείῳ ἐπιρριπτομένη ὕβρις ἐπὶ τὸν ῥίψαντα ἐπιστρέφει.

31. Βέβληται βάλλων.

32. Ἐκφοβῆσαι προϊόντες, κατεπλάγημεν τῷ δέει. — Ἐπὶ τῶν ἄλλους βλάψαι θελόντων, αὐτῶν δὲ μείζω βλαπτομένων.

[102]

Ἐπὶ τῶν μετὰ πεῖραν εἰς γνῶσιν ἐρχομένων.

[103]

Ἐπὶ τῶν προσεχόντων τοῦ μηκέτι ταὐτὰ παθεῖν.

1. Ἀλλ' οὐκ αὖθις ἀλώπηξ εἰς πάγην.

2. Ἅπαξ ἀλώπηξ εἰς πάγην.

3. Εἰ ἐξέλθω τοῦ κλιβάνου, ἐν αὐτῷ μηκέτι ἔλθω. — Μῦς γὰρ κλιβάνῳ εἰσελθών, ἔφη τόδε.

99, 14. Πρβλ. θερίζω 2. 100 Παροιμ. 3. 100, 2. Βλ. τρώγω 37. 101. Παροιμ. 33. 101, 4. Βλ. χάνω 21. 101, 7. Βλ. λαγὸς 23. 101. Βλ βάλλω 11. 101, 26 Βλ. φτύνω 13. 101, 31. Βλ. βαρῶ 6. 101, 32. Βλ. σκιάζομαι 3. 102. Παροιμ. 7. 103 Παροιμ. 3. Χειρ. ταῦτα παθεῖν 103, 1. 2. Βλ. παγίδα 1. 103, 3. Βλ. φοῦρνος 2.

НБ ОНУ імені І.І. Мечникова

Β'.

ΠΑΡΟΙΜΙΑΙ

ΚΑΙ

ΦΡΑΣΕΙΣ ΠΑΡΟΙΜΙΩΔΕΙΣ

НБ ОНУ імені І.І.Мечникова

НБ ОНУ імені І.І.Мечникова

ἀβανιά.

1. Ἡ ἀανιὰ πούρισεν, 'ς τὴν ἀάννισσαν ἤκατσεν.

(Καρπάθου. Μαν. 282, 200).

Ἀβανιὰ ἐκ τοῦ ἰτ. avania (γαλ. avanie) ἡ συκοφαντία καὶ κακολογία. Ἡ κακολογία διαδίδεται εὐκόλως, ἀλλ' ἐν τέλει ἐξελέγχεται ὁ δὲ κακολογῶν κατακρίνεται. Τὴν αὐτὴν ἔννοιαν ἔχουσι καὶ πολλαὶ ἄλλαι παροιμίαι, ὡς ἡ λέγουσα ὅτι ὁ κακὸς λόγος καὶ ὁ κάλπικος παρᾶς γυρίζει εἰς τὸν νοικοκύρη (βλ. λόγος 82. 106. 113. 115) ἢ ὅτι τὸ κακὸν (βλ. κακὸς 19) ἢ ἡ κατάρα (βλ. κατάρα 6. 7) κτλ. ἐπανέρχονται εἰς τὸν ἴδιον αὐθέντην.

2. Τῆς ἀβανιᾶς τὸ γέννημα σὲ ποντισμένο μύλο.

(Γορτυνίας παρὰ Ν. Λάσκαρη καὶ Φ. Ἡλιοπούλου).

Τῆς συκοφαντίας καὶ τῆς κακουργίας τὰ ἔργα κακὸν ἔχουσι τέλος, ὡς καταστρέφεται ὁ σῖτος ὁ εὑρεθεὶς ἐν μύλῳ κατακλυσθέντι ὑπὸ πλημμύρας. Ἀπαραλλάκτως λέγεται ἡ παροιμία καὶ περὶ τῆς ἀδικίας (βλ. ἀδικιὰ 4).

ἀβανιάρης.

3. Ἀάνισσα 'ς τὸ σπίδι σου σοῦραθ θὰ νὰ σοῦ βγάλῃ.

(Καρπάθου. Μαν. 270, 1).

Σοῦρα ἡ δυσφημία, καὶ ῥῆμα σουρεύγω, καὶ σουρευτής. Μὴ φιλοξενήσῃς κακόγλωσσον γυναῖκα, διότι θὰ σὲ κακολογήσῃ, ἡ δ' ἐν τῇ οἰκίᾳ σου διαμονὴ αὐτῆς θὰ καταστήσῃ πιθανὴν τὴν συκοφαντίαν. Ὁμοίως παραγγέλλει νὰ φυλαττώμεθα ἀπὸ τὸν σουρευτὴν ἄλλη παροιμία (βλ. σουρευτὴς 1).

ἀβάρετος.

4. Ἀάρετοπ παιί, χαρὰ σπιdιοῦ.

(Καρπάθου. Μαν. 270, 2).

Ἄοκνος παῖς φέρει εὐτυχίαν εἰς τὸν οἶκον.

НБ ОНУ імені І.І.Мечникова

ἀβιτζής.

1. Τἀβτζῆ ἡ τρουβὰς
δέκ' ἀδειανὸς τσὶ μιὰ γιμάτους.

(Λέσβου παρὰ Γρ. Ν. Βερναρδάκη).

Οἱ πόροι τοῦ βίου τοῦ κυνηγοῦ εἶναι ἀβέβαιοι, ὡς ἐπὶ τὸ πλεῖστον ἐπανερχομένου εἰς τὸν οἶκον μὲ κενὸν τὸν θηρευτικὸν σάκκον. Ἡ αὐτὴ παροιμία λέγεται καὶ ἄλλως:

2. Τἀβζτῆ τοὺ πιάτου
ἐννιὰ φουραῖς ἀδειανὸ τσὶ μιὰ γιμάτου.

(Λέσβου παρὰ Γρ. Ν. Βερναρδάκη).

Παράφρασις ἀπαραλλάκτου βυζαντινῆς παροιμ. παρὰ Πλανούδ. ἀρ. 187 (βλ. κυνηγὸς 4, ὅπου σημειοῦνται καὶ οἱ παραλληλισμοὶ πρὸς ξένας). Κεφαλληνιακὴ ἀπαράλακτος ἐν λ. κυνηγὸς 6. Ἄλλας ὁμοίας παροιμίας βλ. ἐν λ. ἁλιεὺς 1, κυνηγὸς 7, ψαρᾶς 8. (1.3-7.9-16). Τὸ φουραῖς ἐν τῇ παρ. ταύτῃ παρέλκει· παραλειπομένου ἀποκαθίσταται ὁ στίχος.

ἀβράκωτος.

1. Ἀβράκωτε καλόγερε, τἀντσία σ' τσιλεμένα.

(Πόντου. Ἀρχ. νεωτ ἑλλην. τ. Α', γ' σ. τ̄).

«Σκῶμμα παιδικόν, λεγόμενον πρὸς παιδίον μὴ φέρον περισκελίδα, καὶ δὴ φαινόμηρον». (Ι. Βαλαβάνης, αὐτ.)—Τἀντσία σ' τσιλ.= αἱ κνῆμαί σου λερωμέναι.

ἀγαθὸν

* 1. Ποίησον ἀγαθὸν καὶ ῥίψον αὐτὸ εἰς τὴν θάλασσαν.

(Πλαν. 255. [θάλαττὰν Βαρ.]).

Ὁ Πλανούδης δὲν μετέβαλε πολὺ τὴν βυζαντινὴν ταύτην παροιμίαν· τοὐλάχιστον ἡ προστακτικὴ ποῖσον διετηρήθη καὶ ἐν δυσὶ σημεριναῖς παραλλαγαῖς αὐτῆς (βλ. καλὸ 50. 50[α], ἐν δὲ ταῖς λοιπαῖς ἀντικατεστάθη διὰ τοῦ Κάμε (βλ. καλὸ ἀρ. 18. 19. 33). Παραλειπομένης τῆς ἀντωνυμίας ἀποκαθίσταται τὸ μέτρον ⏑–⏑–⏑–⏑–⏑ ‖ (–⏑)–⏑–⏑–⏑, ἤτοι τρίμετρος τροχαϊκὸς ὑπερκατάληκτος ἢ μετὰ τῆς ἀντωνυμίας τροχαϊκὸς τετράμετρος καταληκτικός.

НБ ОНУ імені І.І.Мечникова

